Moscoviensis, de quo quantum pro paucitate versuum, quos continet, iudicium stare potest, iam supra exposuimus. Ei soli debemus egregiam emendationem *B* 51 κιρνάμενος, quam iam Hermannus coniectura restituit (cens. 993); optime congruit cum Laurentiano *Λ* 93 (ἔγκυος), 180 ὅνπερ (ex quo Ludwich Mus. Rhen. n. s. 35, 498 ποτε restituit), 188 (ἐπεδείκνυε), cum Marciano Gerhardii coniecturam μετανάστιος *Λ* 63 probavit. Haec sunt fere omnia, quae de eo proferri possunt. Venio iam ad peiores huius familiae codices multis locis inter se consentientes, de quibus quia quasi in subsidio positi auctoritate omnino careant nisi ubi Laurentiano et Vaticano destituimur, quam brevissime disseram; dico de Marciano et Palatino, qualis erat ante correctoris operam. Iam supra diximus eos ex communi parente fluxisse (C); huius rei est luculentissimum documentum, quod praeter lacunas omnium huius familiae librorum communes in utroque bis singuli versus exciderunt et ita, ut alia causa

non sit probabilis, quam quod iam in communi fonte iam defuerant; sunt vero versus *H* 55 et *N* 57; huc accedunt hae minores lacunae: *Λ* 142, 188, *P* 82, *Σ* 55. Adice vero consensum paene incredibilem mendorum et gravium et levium plus sexaginta locis; et iam de communi utriusque codicis fonte non amplius haerebis. Sed ne numeris solis confidere arguar, singulos locos enumerabo et insigniores obiter percensebo. *Λ* 10 *πᾶσι μέλουσα* uterque praebet; 59 *ἐν* pro *ὃν*; 93 *ἔγχυος*; 144 *ἀθρήσαιτε*; 162 *μὲν*; 188 *ἐδείκνυε* pro *ἐπεδείκνυε*; 208 *λεύσεις*. *Γ οἱ* omisit Marcianus, in Palatino a correctore postea adiectum est. *Δ* 30 *ἕζετο καὶ γὰρ*; 43 *ὑψίστου* pro *ὑψίστοιο*; 90 *πολυκνίσσῳ*; 97 *μευ* quod haud scio an librarius, qui *μοι* non intellexit, quid sibi vellet, consulto scripsit; 179 *πόνον* pro *κόπον*; 188 *πᾶσιν*; 189 *πτόλιν*; 233 *γίγνωσκε*; *E* 48 *ποινήτορα νούσου*; 106 *ἔχοιτε*; *Z* 32 *γαίης* pro *χόρτου*, quod ex versu praecedente (30) irrepsit; 68 *ἐπεσφίγξατο*; 86 *ἀντώπιος*; 115 *ταχυφθιμένην*; 128 *ἐθηήσαντο*; *H* 54 *ἀλλήλοισι*, ut ante correctoris rasuram etiam in Palatino scriptum erat; 85 *ἀρτιγενεῖ*; 138 *κοὐδὲν*; *Θ* 13 *πόσε*; 37 *σφιν*; 142 *ἐπε᾽*; 143 *κακῶς*; *I* 2 *ἄνδρ᾽* (*ἄνδρ᾽* Ma); 91 = 97 *ὀπωπαῖς*; 173 *κάμψας*; *K* 122 *λαιμῷ*; *Λ* 22 *ἀγγελίην*; 35 *παραπταίοντα*; 77 *τεός*; 93 *ἐψιθύρισσε*; 141 *ἕως φάος εἰσέτι λάμπει*; 159 *ὀπωπῇ*; *N* 50 *Ἰουδαίας*; *Ξ* 111 *φιλίης*; *O* 29 *αἰτίζητε*; *Σ* 55 *δ᾽* omittunt; 72 *ἐρίδηλος*; *T* 19 *γιγνώσκητε*; 21 *διέστειχε*; 42 *εἶ σύ*; 68 *ταχυεργὸς* et *ἀπ᾽*; 20 *σιμων ὁ ποδήνεμος* Ma, *σιμων ἀποδήνεμος* P; 136 *ἄλλα δὲ*; *Φ* 31 *ἄσπετον ἐσμὸν*; 38 *δαιδαλέῳ*. Quae exempla si strictim perlustraveris, haud negabis non forte fortuna facta esse posse, sed communem originem utriusque codicis prae se ferre; nam quamvis artis affinitatis vinculis coniuncti sint, tamen

Marciano genuinam lectionem servatam esse, in Palatino depravatam: *I* 53 *Λ* 125 *M* 168 *N* 49, 110 *O* 45 *Π* 34, 55, 74 *Σ* 40 = *Υ* 90 *Τ* 211 *Υ* 5, 22, 128 *Φ* 19, 77, 91 cet.? Quae omnia nos eo ducunt, ut persuasum habeamus Marcianum et Palatinum ex uno libro non aequali diligentia descriptos esse, hunc minore, illum maiore; quare aequum est nos Marciano, ubi his codicibus locus est, plus fidei habere quam Palatino. Sed iam de Palatini correctoribus agendum est.

Palatino exstiterunt duo correctores, quorum qui prior fuit aetate et minus perniciosus, ex exemplari pleniore familiae Laurentianae plerumque lacunas explevit, menda aperta correxit et varias lectiones in margine adscripsit; huius operae haec exempla profero: *Λ* 6 *ἀϝνάῳ*, antea sine dubio *ἀενναίῳ*, scriptum erat; 59 in textu *ἐν* scriptum est; in margine *γρ.* *ὃ κᾳμβροσίῃ*; 76 *ἡμέας* omissum est, in margine adiectum est nota: *ἐν ἄλλῳ ἐν ἀρχῇ ἡμέας οἳ προέηκαν.* *B* 39 *οἰνωπῇ* in marg. *γρ.* *οἰνώπῃ*, *Γ* 38 *ἔχησε*τε, 130 *πρωτόθροε* in margine *πρωτόθρονος*, *Δ* 30 *ἕζετο καὶ γὰρ μοῦνος* supra scriptum est *ἕζετο γὰρ τότε*, 98 *φυσίζοον*ω, 86 *θαμβαλεης* supra *θαμβαλέη*, 142 *ἀγγελίην* supra *ἀγγελίης*, 166 *τελέθουσι*θα, *E* 5 *δαιδαλεῶς*ων 9 *λύματα*κϋ, 132 *δέγνυμαι*χν, *Z* 20 *ἄρκιον*οι, 63 *ἀμφικελευθον*ἀγχι, 68 *ἐπεσφίγξατο*σα, 176 *ἀριπλανέες*ορι, *Θ* 13 *πόσε*θι, 51 *γενέθλην*ια, 187 in margine *ζῆ* (?), 122 *λαιμᾷ*λαῶ, *Λ* 93 *ἐψιθύρισσε*, 111 *αὐτοῦ*ὸν, 173 *φωλάδι* in marg. *φυλάδι*, *N* 13 *ἑῇ*ζ, *O* 43 *πέλοι*μένοι, *Π* 123 *λείπει* supra *λήγει*, *P* 16 *παρέδωκα* in margine, 28 *σεῖο*σῷ, *Σ* 4 *βαθὺ* in marg. *θρασὺ*, 149 *φθόνου*ον, *T* 19 *νεοπλανὲς*ο (fortasse ex Marciano), 137 *μαγδαλινὴ*η (etiam ex Marciano), 201 *δίζυγα δεσμὸν* et *ὀξέι χαλκῷ* sed in

marg. *γρ. δίζυγα χαλκὸν* et *ὀξέι δεσμῷ*. Videmus igitur hunc correctorem ex codice melioris notae aut falsas lectiones Palatini emendasse aut hic illic variam lectionem adscripsisse. Alter vero corrector, cuius manus vix distingui potest a manu prioris*), multo post codicem iterum ita tractavit, ut nonnulla ex meliore codice transscriberet velut *Λ* 144, 162 *Δ* 42 *Z* 128 *Λ* 11, aliis locis aperta menda, quae facile animadverti poterant, partim ex suo partim ex illo exemplari corrigeret, velut *E* 160 *δέγνυμαι*, *Z* 50 *περισσεύοντι*, *H* 94 *χρόνοιο* in marg. *νίοιο*, *Θ* 41 *παιδὸς* in marg. *πο*, *M* 141 *Σ* 54 *ἀξίφεϊ* supra *καὶ*, denique — et hoc gravissimum est — menda e coniectura sanare studeret; luculentissimum habeo huic opinioni documentum *Δ* 246, quem versum lacunosum exhibent codices excepto Laurentiano; ex quo quid exciderit et quomodo, facile intellegimus; in Palatino vero manu tertia post *εὐσεβίης* adiectum est *ἐς ὁδοὺς*; sane ad metrum explendum aptum, sed non Nonnianum. Idem in hos locos cadere mihi videtur: *Θ* 111, 116 *K* 102 *Λ* 75 *Σ* 183; verum assecutus est hic corrector *Θ* 111 *Λ* 75 et fortasse *Σ* 183. Quae si recte disputavi, iam de Parasino eiusque origine facile est iudicium; is enim ex Palatino descriptus est post prioris et ante alterius correctoris operam. Sed ad hanc sententiam confirmandam altius repetam.

De cognatione artissima Parisini et Palatini nemo dubitabit, qui hos potissimum locos percensuerit: *A* 40 *B* 31, 39 *Γ* 37, 38, 47, 53, 59, 68, 72, 130, 159 *Δ* 30, 51, 52, 58, 90, 97, 166, 243 *E* 5, 9, 22, 99, 132, 134, 160 *Z* 20, 37, 50, 63, 68, 80, 86, 129, 176, 198 *H* 79

85, 169 *Θ* 13, 27, 41, 51, 56, 127, 147 *I* 41, 146, 187 *K* 121, 122, 127 *Λ* 11, 93, 111, 141, 177, 196 *M* 75, 137, 182 *N* 13, 39, 44, 49, 91 *Ξ* 119 *O* 80 *Π* 21, 23, 27, 55, 97, 111, 123, 124 *P* 28, 36 *Σ* 4, 49, 54 *T* 13, 107, 138, 166, 172, 173, 186, 201 *Υ* 55, 69, 112 *Φ* 10, 31, 47, 77. Huc accedunt inscriptiones. Videmus utrumque codicem vel in minimis mendis mirum in modum inter se conspirare; quod fieri non potuit, nisi si aut uterque ex uno eodem exemplari fluxit et postea ad unum idemque exemplar melioris notae correctus est aut alter ex altero descriptus est; illud ne statuamus, multa nobis persuadent; nam ut omittam vix credibile esse duos libros ex uno fonte fluxisse, tum utrumque iisdem locis ad alterum exemplar a suo librario tractatum esse, — quod maxime huic sententiae repugnat est, quod in Parisino omnia, etiam correctiones una eademque manu exarata esse videmus. Quae cum ita sint, credere nos oportet Parisinum ex Palatino tam accurate descriptum esse, ut eius librarius vel menda cum correctionibus transscriberet nisi paucissimis locis (*Λ* 142 *M* 63 *Υ* 115), ubi de vera lectione vel indoctissimus librarius non dubitare potuit. Quae sententia probatur ac prope certa fit inscitia eius, qui Parisinum scripsit, lepidissima. In Palatino enim simili verborum forma *πεπαινομένης* et *σπειρομένης* exciderant omnia inde ab *ἀπεσείσατο* usque ad vocem *φήμης* et postea a correctore 1 in margine adiecta sunt; ceteris vero locis, ubi librarius Parisini in Palatino totos versus in margine adscriptos vidit, eos in ordinem recepit; sed hic cum non perspiceret, quo referendum esset illud *φήμης σπειρομένης*, exemplar suum usque eo secutus est, ut vel haec verba ex loco movere non auderet et notam adiungere mallet, qua significaret ordinem verborum sibi displicere. Sed, quaerat quispiam, sunt nonnullae discrepantiae inter Parisinum et Palatinum; refelliturne his id, quod contendimus? Sunt sane discrepantiae inter utrumque codicem, sed quales esse solent inter pa-

trem et filium, quales librarius vel diligentissimus vix effugere potest; in quibus gravissimae videntur esse inscriptionum diversitates; sed ut dimidio plus in Parisino non legantur, verisimile est inde factum esse, quod librarius eas aut nondum invenit in Palatino aut neglexit, cum ad carmen Nonnianum nihil pertinerent. Ceterae vero, quas pro difficultate, quam legentibus Palatini scriptura obicit, minimas esse et paucissimas pro carminis versuum numero nemo negabit, aliae eodem spectant, aliae alio modo explicandae sunt. Sed iam huic quaestioni finem faciam; de auctoritate Parisini prorsus nulla nemo, credo, dubitabit. Unum hoc praetermittere non possum ad causas, quibus Marciani Palatini Parisini affinitatem probavi, quasi externam eam accedere, quod, cum vetustiores aliae exaratae sint singulis paginis unum versuum ordinem continentibus, huius triadis singulae paginae bipartitae duplicem versuum numerum complectuntur. — Tantam igitur viam emensi paululum consistamus et ad summam totius quaestionis respiciamus.

Ex omnibus libris longe praestantissimus est Laurentianus, quem qui recte criticam in carmine Nonniano exerciturus est, ubique sequetur, nisi si iusta aliqua causa retinetur; ad hunc proxime accedit Vaticanus, qui post versum Θ 113, quo Laurentianus finitur, primum locum obtinet; Parisinus auctoritate prorsus caret; qui supersunt, Marcianus et Palatinus, oriundi eodem parente, non habent eandem vim; nam ille huic praeferendus est; denique de Moscoviensi pro tantillo ambitu certum iudicium constare nequit, praeterquam quod eum in melioribus libris habendum esse vidimus.

spexi Vindobonensem et Lipsiensem, ut fontem eius reperirem; Lipsiensem ideo mihi comparavi, quia ex Passovii adnotatione, quae cum exemplari Vindobonensi plus nonaginta locis discrepuit, iam suspicatus eram Aldum carmen Nonnianum bis edidisse; sed consentit ubique liber Lipsiensis cum Vindobonensi; hoc praemisi, ne quis neglegentiae me accuset, si, quae apud Passovium excerpta sunt, meis notis repugnare videntur. —

Fons Aldinae est codex Palatinus, qui tum iam ab utroque correctore tractatus est; nam vel in minimis mendis cum eo consentit, nisi his locis, quibus aut errore aut cum diligentia ab codice discessum est: *A* 192 *γιγνώσκεις* *B* 26 *ἔσαν* 42 *κυπέλοις* 57 *ἀκερσεκόμων* 61 *πέδου* *Δ* 39 *αἰδομένοις* 67 *ἀλλόμενον* 105 *οὐκε δάητε*; 154 *ἄλλο* 172 *τελέσθω* 209 *χιονωτὸν* 230 *καταστίχοντι* 241 *στίχουσα* *E* 18 *ἀσκηθεὶς* 43 *εἴρετο* 47 *στίχοντα* 141 *μεθέπων* *Z* 11 *ὀφθαλμὸν* 67 *μελακρήδεμνος* 194 *ἐπὶ χθονίης* *H* 18 *ῥέξεις* 29 *ἐλέγχων* 104 *ἀργυροφέγγεϊ* 107 *βαίνῳ* 114 *φόνιος* 125 *αὐτάγρευτον* 164 *βύβλῳ* = 191. *Θ* 111 *πως* 120 *βαίνῳ* 127 *οὐδενὶ* 151 *ὑμετέρην* 180 *ἀβραάμ.* *I* 14 *μητρὸς* 27 *ἄφρονε λίσσων* 64 *περίτροχος* 140 *αὐτὸν* *K* 22 *ἀπημάντῳ* 33 *ἠὲ* 63 *ἐμποδόμητις* 65 *αὐτάγρευτον* 142 *ἀντιπεραίαν* *Λ* 40 *ξεινοδόκος* 88 *ἐτύτημος* 177 *παλλίλυτα* 196 *αὐσονῆες* 228 *ἔνδοθεν* *M* 6 *μυστίδες* om. 20 *μῦρον* 73 *βύβλῳ* 133 *ἐς* 152 *πίστευεν* *N* 10 *Ἰούδα* 22 *ἀλητήριον* 145 *μέλλοντο* *Ξ* 30 *ἄμμιν* 82 *ἀριθμῷ* *O* 19 *ἀειθαλέθοντα* 85 *δὲ* om. *Π* 6 *φιλέωντι* 97 *πολλύλιτα* *Σ* 50 *ὅλωλα* 86 *ἄναπτον* 110 *ἔσο* *T* 136 *ἢ* 139 *γύνε* 140 *μαθητήν* *Υ* 44 *παλλίλυτα* 67 *ἐλπομένη ποιοφυτηκόμος* 120 *μέσος* 129 *ἔσο* *Φ* 23 *γίγνωσκον* 55 *ἠίονι* 105 *γιγνώσκεις* 140 *αὐτὸς* om. Capitum finis et initium inscriptionibus Palatini plerumque respondet. *B* 1 *Γ* 1 *Γ* 125 *Δ* 210 *E* 3 *E* 11 *Θ* 194 *T* 192; praeterea semel a v. *M* 60 solus novum caput incepit. — Quae secuntur editiones omnes, (Seceri (1527 Hagenoae), Brubachii (1541 Francofurti), Bogardi (1542 Parisiis)) ab Aldina pendent; quae quisque emendavit — et profecto perpauca sunt — in adnotatione critica commemoravi.

Primus qui prosperam carmini Nonniano navavit operam, est Martinus Iuvenis Parisiis 1556, qui non solum multa menda priorum editionum emendavit, sed etiam coniecturis felicibus multum profecit et primus secundum evangelium carmen in XXI capita divisit; quare Iuvenis pater vulgatae nominandus est. Ceterae editiones, vanissimae eruditionis farragine plenae, nihil fere ad emendandum textum adtulerunt, Bordatus vero (Parisiis 1561) et Nansius (Lugduni Batavorum 1589) quae ex evangelio omissa videbant, suis versibus suppleverunt; Nansius primus versus singulos numeravit. — Multo post Sylburgius (1596) rectam viam ingressus est, qui pluribus locis Palatinum inspexit, sed novi fere nihil adtulit. Ad hunc ceterae editiones usque ad haec tempora redeunt. Post Passovium carmen ediderunt Maniarius Tergesti 1856, qui Bordatum repetivit, et Marcellus (Parisiis 1860), de cuius pretio accurate in adnotatione critica rettuli.

Caput II.

De evangelio, quantum momenti habeat ad carminis Nonniani textum constituendum.

Initium capiam huic quaestiunculae ab loco, qui est *Γ* 38. Ibi in evangelio vulgo legitur: *μὴ θαυμάσῃς ὅτι εἶπόν σοι.* Nonniani carminis optimi codices (LV) vero habent *μὴ θαῦμα ἔχητε*, ceteri *ἔχησε*, corrector Palatini suprascripsit *τε*; vulgo legebatur *ἔχητε*, sed Fritzsche in margine exemplaris suis adnotavit *ἔχῃ σε* ex evangelio. Iam adeas adnotationem criticam editionis Tischendorfianae et invenies complures testes etiam *θαυμάσητε* legisse; quare non est dubium, quin Nonnus in suo evangelii

σήμερον ὑμείων μέσος ἵσταται. At Laurentianus praebet *ἡμείων.* Atqui ex Scholzii adnotatione intellegimus in quibusdam libris *ἡμῶν* scriptum fuisse. Quare Laurentianum sequi non dubitavi, quamvis haud ignorarem vel in illo libro haud raro *ἡμέτερος* et *ὑμέτερος*, *ἡμείων* et *ὑμείων* mutari (cf. ad *Γ* 44 et *Θ* 21). Tertium adiungo locum, qui est *Α* 27. In evangelio legitur: *ἦν τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον.* Hoc *ἐρχόμενον* patet referendum esse ad *φῶς.* Sed Nonnus scripsit: *ἀνέρα πάντα καθαίρει πνευματικαῖς ἀκτῖσι κατανγάζων φύσιν ἀνδρῶν ἐρχομένων ἐπὶ γαῖαν*; rettulisse eum videmus illud *ἐρχόμενον* ad *ἄνθρωπον.* Nonne haec stultitia Nonno tribuenda est? Hermannus ei non tribuit et in paraphrasi *ἐρχομέναις* scribendum esse existimavit; sed quid? multitudinem testium apud Tischendorfium videmus, qui omnes *ἐρχόμενον* cum *ἄνθρωπον* coniunxerunt! patet igitur nos imprudenter acturos fuisse, si Hermannum ducem secuti essemus. —

Haec de lectionibus singulis; transeo ad eos locos, quibus docemur in Nonniani evangelii exemplari hoc illudve enuntiatum, quod in vulgata legitur, non fuisse scriptam:

I 36 Lachmannus cum compluribus testibus *ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου* in textum recepit; Nonnus cum haec verba in paraphrasi neglexerit, ne legisse quidem ea in exemplari suo inde efficiemus, quod a tot testibus omissa videmus. — V 3 post *ξηρῶν* in compluribus editionibus evangelii haec verba secuntur: *ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν· ἄγγελος γὰρ κυρίου κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρῳ καὶ ἐτάρασσε τὸ ὕδωρ*; quorum cum in paraphrasi mentio facta non sit, haud dubitabimus ea etiam a Nonni exemplari abiudicare, quippe quae a tot testibus non agnoscantur; idem cadit in verba, quae leguntur V 16 *καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι*, quae paraphrasis cum plurimis testibus omittit; ib. 25, quae vulgo leguntur *καὶ νῦν ἐστίν*, cum quibusdam aliis omittit paraphrasis; nec non VI 1 VII 50 IX 9 XII 21, 42 cet.

omnibus his locis cum paraphrasis una cum aliis evangelii testibus plus minusve vulgatae omittat, in Nonniano evangelii exemplari hoc non fuisse pro certo scimus. Tertium genus, ad quod in restituendo evangelii exemplari Nonniano ratio est habenda, hoc duxerim, quod aliquotiens paraphrasi docemur in eo additam fuisse sententiam, quam vulgata omisit. Huc spectant loci, quales leguntur V 4, ubi totam sententiam *ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς ἐγένετο* Nonno ob oculos fuisse videmus ex paraphr. v. 6 sq. — In eodem cap. par. 28 hemistichio paraphraseos v. 108 cognoscimus in Nonniano exemplari ut in pluribus verbis *ὅτι ἔρχεται ὥρα* adiecta fuisse, *καὶ νῦν ἐστιν*; nec minus VII 44 Nonnum in evangelio suo post *χεῖρας ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ* legisse versibus 170 sq. paraphr. docemur; addiderim locos, qui sunt VIII 59 XIII 9, satis manifestos. Denique non praetermiserim etiam ordine verborum exemplar Nonnianum a vulgata nostra recessisse; cuius rei duo exempla profero ex multis, VI 69 XIII 13, ubi in verbis collocandis a vulgata recessimus testimonio paraphraseos cum aliis consentiente moti. Quae si respexeris, iam primam legem, quam in restituendo evangelii exemplari Nonniano secutus sum, probabis: nam ubi paraphraseos verba discrepant cum vulgata, cum aliis testibus consentiunt, haec in evangelio Nonniano scripta fuisse putanda sunt. Quae tam simplicia sunt, ut nemo fere negaverit; sed quae secuntur, difficiliora intellectu sunt. Quid enim iudicandum est de locis, ubi paraphrasis ab evangelio plane recedit nec ullo teste confirmatur; nam tres causae huius dissensus cogitari possunt: aut Nonnus aliud quid in evangelio suo legit; aut prudens ab eo recessit, aut discrepantia non Nonno, sed librariis debet

ut tota Nonni ratio, quam in paraphrasi pangenda secutus est, penitus cognoscatur, denuo inquirendum est. — Iam primum in universum iudicanti satis constat Nonnum in paraphrasi sua evangelii verba tanta cura expressisse, ut quidquam mutare religioni ei fuerit. Attamen poetam epithetis tam uberem et in describendis rebus tam copiosum haud miramur hic illic ab evangelii simplicitate recessisse et consuetudini suae indulsisse; cuius rei haud exemplis opus erit, et satis habeo haec enumerasse: *A* 1 sqq. 13 sq. 39 sq. 102 sqq. 148 sqq. 163 sqq. 178 sqq. 200 sqq. *Λ* 159 *Σ* 16 cet. Nec hoc poeta effugit, ut haud raro verba evangelii non versibus includere contentus esset, sed interpretando longius proveheretur; huc spectant v. *A* 83 sq. *B* 35 sq. 39 sq. *Γ* 5 sq. 25. 115. 123 *Δ* 10. 75. 79. 123. 195. 231 sqq. *Z* 71 *H* 145. 158. 169 *Θ* 33 *I* 122 sqq. 127 *K* 89. 107 *Λ* 31 sq. 52 sqq. *Υ* 40 sqq. Contra non desiderantur loci, ubi Nonnus evangelistae ubertatem amputavit et quae sine detrimento deesse potuerunt aut praecisa facilius intelleguntur, omisit: huc refero locos quales sunt X 12, ubi verba evangelistae *οὗ οὐκ ἔστιν τὰ πρόβατα ἴδια* quibus *μισθωτός* describitur, molesta Nonno visa, in paraphrasi desunt; I 26, 28, 30 V 2, 36 VIII 22, 29 IX 47 cet. Quae omnia nos eo ducunt ut concedamus Nonnum, quamvis raro, consulto a lege sua defecisse. Alterum est, quod supra posuimus, in evangelii exemplari suo Nonnum longe aliud quid legisse, atque in vulgata hodie invenimus; huius rei haec habeo testimonia luculentissima: V 10 in exemplari Nonniano Iudaei ex caeco quaerebant, quis eum grabatum in se sumere iussisset, in vulgata vero illi eum admonebant sabbatum esse nec licere quidquam portare; et quae respondit caecus, utrique sententiae conveniunt. Quae vero c. VIII 40 leguntur, non quadrant versibus paraphraseos 107 sqq., qui satis ostendunt in evangelio Nonniano Iesum nihil aliud dixisse quam haec: Si liberi Abram essetis, eiusdem facta imitaremini; sed vos impium genus estis et impia agitis, Abram nihil impii fecit; quae tam plana

sunt, ut evangelistae tribuere malimus quam Nonno ipsi, quamvis per nullum testem confirmentur. Quae cum ita sint, iam ad id pervenimus, quod ad criticam in carmine Nonniano maxime pertinet; nam si videmus Nonnum nonnunquam ex industria ab evangelio in paraphrasi sua digressum esse, nonnunquam in eo aliud legisse, atque libris, qui ad nos pervenerunt, traditur, is, qui munere critico in paraphrasi recte fungi vult, textus corruptelam statuet nusquam nisi ubi neutrum interponi potest, hoc est, ubi sententia loci librarii errorem evincit. Quare his locis in paraphrasi aliquid excidisse nego: I 6 (ubi verba *ἀπεσταλμένος παρὰ θεοῦ* uncis includenda erant); 28; II 23. 24 III 3. 5. 23. 31. IV 22. 41. 42. 47 V 2. 3. 13. 36 VI 19. 26. 29. 32. 58. VII 10. 17. 32. VIII 21. 22. 29. 31. 34. 38. 42. 58. IX 8. 17 X 4. 7. 12. 29. 40. XI 9. 19. 47. XII 4. 13. 18. 24. 25. 36. XIII 5. 16. 21. 23. 32. 33. 37. 38. XIV 12. 20. 26. 28. XV 23. XVI 5. 13. 20. 23. 24. XVII 1. 3. 11. 16. 18. 23. 24. 25. 26. XVIII 1. 2. 8. 22. 28. XIX 28. XX 2. 4. 14. 18. 19. 24. XXI 24. Atque iisdem causis perductus sententiarum ordinem a vulgata nostra diversum his locis non mutavi: I 12. 13. 26. II 1. 12. III 1. 17. VII 23 (v. 86 et 87). 27. IX 5. X 12. 13. XI 30. XII 26 (v. 103 et 104) XXI 12. 14 (v. 75).

Cap. III.

De rebus metricis et grammaticis.

Iam ad ultimum perveni, quod editori huius carminis tractandam est; dico, res metricas et grammaticas. Nam in utraque paraphrasis a Dionysiacis adeo differt, ut de eodem auctore dubitare possis. Sed causa huius observationis haud procul est: si enim

quae in Dionysiacis vitavit aut inania quaedam verba quasi ad numeros complendos inculcavit. Quare sic versatus sum, ut leviora menda metrica Nonno condonarem, nisi ubi codices corruptelam indicarent, et grammatica quaedam tanquam natura carminis effecta sive ex evangelio adsumpta tolerarem, in gravioribus autem studerem ut usus Nonnianus valeret.

In adnotatione critica his siglis usus sum:

L	Laurentianus
V	Vaticanus
M	Moscoviensis
Ma	Marcianus
P	Palatinus
Pa	Parisinus
A	Aldus.

In evangelio * significat Nonnianam lectionem cum vulgata discrepare.

Corrigenda et addenda.

Iam omnia absoluta erant, cum forte in disputatiunculam praeclarissimam ab H. Tiedke in Mus. Rhen. n. s. XXXIII 530—537 editam incidi, quae quamvis ab auctore ipso monitum nescio qui me antea — profiteor neglegentiam meam haud purgandam — fugerat. Quae ibi vir doctissimus de Nonno optime meritus disseruit, omnia fere eiusmodi sunt, ut sine ulla haesitatione in textum recepturus fuerim, si tum novissem. Quare cum Tiedkio *Σ* 21 *δίσκῳ* pro *κόσμῳ*, ib. 24 *πῦρ* pro *φῶς*, *Λ* 122 *εἰς ὃν ἐσαθρήσειας* pro *εἰς ὃν ἂν ἀθρήσειας*, *Γ* 64 *αὐλῆς* pro *ὕλης* legendum est; quod vero *H* 176 pro *οὐχ οὕτω* scribi vult *οὐ τούτῳ*, cum Rzachio (Bursians Jahresbericht 1880 p. 86) improbarim. — I 6 verba *ἀπεσταλμένος—θεοῦ* uncis includenda sunt. P. 10 in adn. cr. v. 123 scribendum est *αὐτόθι ἔμπεδα* reliqui. P. 23 v. 107 nunc Koechlyi coniecturam *μῦθον* pro *μοῦνον* probo. P. 36 in adn. cr. ad v. 30 suprascr. m. 2 scribendum erat. P. 37 v. 48 colon post *ὕδωρ*. P. 75 in adn. cr. ad v. 220 scribendum est *σὺ μόνος ἅγιος πέλες* cet. et cod. p. 106 ad v. 186 evangelii paragraphus 30 adscribenda est. P. 157 v. 23 *ἐπείγῃ*. P. 158 v. 45 *πείθησθε*. P. 165 v. 29 *αἰτίζοιτε*. P. 167 v. 65 *αἰτίζοιτε*, ib. v. 69 *στυγέῃ* legendum est. P. 275 *θεῷ* Ξ 2 excidit.

ΝΟΝΝΟΥ
ΠΟΙΗΤΟΥ ΠΑΝΟΠΟΛΙΤΟΥ
ΜΕΤΑΒΟΛΗ

ΤΟΥ

ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΟΥ.

ΚΕΦ. Α.

Ἄχρονος ἦν, ἀκίχητος, ἐν ἀρρήτῳ λόγος ἀρχῇ, 1
ἰσοφυὴς γενετῆρος ὁμήλικος υἱὸς ἀμήτωρ,
καὶ λόγος αὐτοφύτοιο θεοῦ γόνος, ἐκ φάεος φῶς·
πατρὸς ἔην ἀμέριστος, ἀτέρμονι σύνθρονος ἕδρῃ·
5 καὶ θεὸς ὑψιγένεθλος ἔην λόγος. οὗτος ἀπ' ἀρχῆς 2
ἀενάῳ συνέλαμπε θεῷ, τεχνήμονι κόσμου,
πρεσβύτερος κόσμοιο· καὶ ἔπλετο πάντα δι' αὐτοῦ, 3

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΙΩΑΝΝΗΝ.

1. Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. 2. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. 3. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν

ΝΟΝΝΟΥ παράφρασις εἰς Ἰωάννην man. rec. rubr. col. L. Νόννου ποιητοῦ πανοπολίτου μεταβολὴ τοῦ κατὰ Ἰω εὐαγγελίου ἁγίου M. ΑΜΜΩΝΙΟΥ ΦΙΛΟΣΟΦΟΥ καὶ ῥήτο· ΜΕΤΑΒΟΛΗ ΤΟΥ κατὰ ΙΩ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΟΥ Ma. Νόννου ποιητοῦ πανοπολίτου μεταβολὴ τοῦ κατὰ Ι'ω ἁγίου εὐαγγελίου P. Νόννου ποιητου πανοπολίτου μεταβολὴ τοῦ κατὰ ἰωαννην ἁγίου εὐαγγελίου Pa.

1. ἄναρχος Pa. 3. θεοῦ φῶς· ἐκ codd. et edd. Gerhard lect.

ἄπνοα καὶ πνείοντα· καὶ ἐργοπόνου δίχα μύθου
οὐδὲν ἔφυ, τόπερ ἔσκε· καὶ ἔμφυτος ἦεν ἐν αὐτῷ 4
10 ζωὴ πασιμέλουσα, καὶ ὠκυμόρων φάος ἀνδρῶν
ζωὴ πάντροφος ἦεν. ἐν ἀχλυόεντι δὲ κόσμῳ 5
οὐρανίαις σελάγιζε βολαῖς γαιήοχος αἴγλη,
καὶ ζόφος οὔ μιν ἔμαρψε. μελισσοβότῳ δ' ἐνὶ λόχμῃ 6
ἔσκε τις οὐρεσίφοιτος ἐρημάδος ἀστὸς ἐρίπνης,
15 κῆρυξ ἀρχεγόνου βαπτίσματος· οὔνομα δ' αὐτῷ
θεῖος Ἰωάννης λαοσσόος. οὗτος ἐπέστη 7
ἄγγελος ἐμπεδόμυθος, ὅπως περὶ φωτὸς ἐνίψῃ
μαρτυρίην, ἵνα πάντες ἑνὸς κήρυκος ἰωῇ
ὀρθὴν πίστιν ἔχοιεν, ἀτέρμονα μητέρα κόσμου·
20 οὐ μὲν κεῖνος ἔην νοερὸν φάος, ἀλλ' ἵνα μοῦνον 8
πᾶσιν ἀναπτύξειε θεηγόρον ἀνθερεῶνα
καὶ φάεος προκέλευθος ἀκηρύκτοιο φανείη,
ξυνὴν μαρτυρίην ἐνέπων θεοδέγμονι λαῷ.
καὶ γὰρ ἑοῦ μετὰ πατρὸς ἐτήτυμον ἀρχέγονον φῶς 9

ὃ γέγονεν, 4. ἐν αὐτῷ ζωὴ *ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων, 5. καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. 6. ἐγένετο ἄνθρωπος, ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης· 7. οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ. 8. οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. 9. ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄν-

---

9. ἔσκεν P ἐσμὲν Pa ἐπαυτῷ L. 10. πασιμέλλουσα L sed prius λ paene eras. πᾶσι μέλουσα MMaP πασημέλουσα Pa corr. Iuvenis. 11 et 12. desunt, sed leguntur in sup. marg. P. 15. κῆρυξ Pa κήρυξ cet. codd.; idem edd. κῆρυξ etiam Koechly in marg. 20. μὴν vulgo; Lehrs Quaest. ep. 263 μὲν restituit. 21. ἀναπτύξειε (sed ειε ex ειεν) θηγόρον P ἀνὰ πτύξειε Ma vulgatam primus Iuvenis recepit.

25 μουνογενὴς λόγος ἦεν, ὃς ἀνέρα πάντα καθαίρει
πνευματικαῖς ἀκτῖσι καταυγάζων φύσιν ἀνδρῶν
ἐρχομένων ἐπὶ γαῖαν· ἔην δ' ἐν ἀπειθέι κόσμῳ 10
ἀπροϊδής, καὶ κόσμος ἀπείριτος ἔσκε δι' αὐτοῦ,
καὶ λόγον οὐ γίνωσκεν ἐπήλυδα κόσμος ἀλήτης.
30 ἐγγὺς ἔην ἰδίων, ἴδιοι δέ μιν ἄφρονι λύσσῃ 11
ὡς ξένον οὐκ ἐγέραιρον· ὅσοι δέ μιν ἔμφρονι θυμῷ 12
ἀπλανέες δέξαντο καὶ οὐ νόον εἶχον ἀλήτην,
οὐρανίην πάντεσσι μίαν δωρήσατο τιμὴν
τέκνα θεοῦ γενετῆρος ἀειζώοντος ἀκούειν,
35 οὓς φύσις οὐκ ὤδινε λεχωιάς, οὐ βίος ἔγνω 13
ἀνδρομέου βλάστημα θελήματος, οὐδὲ καὶ αὐτὴ
σαρκὸς ἐρωτοτόκοιο γαμήλιος ἤροσεν εὐνή,
ἀλλὰ θεοῦ γεγάασιν ἀνήροτα τέκνα τοκῆος.
καὶ λόγος αὐτοτέλεστος ἐσαρκώθη, θεὸς ἀνὴρ 14
40 ὀψίγονος προγένεθλος, ἐν ἀρρήτῳ τινὶ θεσμῷ

θρωπον, *ἐρχόμενον εἰς τὸν κόσμον. 10. ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. 11. εἰς τὰ ἴδια ἦλθεν, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. 12. ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. 13. οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος σαρκὸς οὐδὲ ἐκ θελήματος ἀνδρὸς ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν. 14. καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκή-

---

25. ἔην L. 26. καταιγάζων M. 27. ἐρχομέναις voluit Hermann cens. 992 et Koechly in marg. 28. κατ' Marcellus. 29. αλείτης L. 32. ἐδέξαντο L αλείτην L. 33. δωρήσατο Pa. 37. ἐρωτοτόκου L. 40. θεσμῷ L Ma θυμῷ M θεσμῷ PPa

ξυνώσας ζαθέην βροτοειδέι σύζυγα μορφήν.
καὶ θεὸς οἶκον ἔναιε σὺν ἀνδράσι, καὶ κλέος αὐτοῦ
εἴδομεν ἀνδρομέοισιν ἐν ὄμμασιν, οἷά τε τιμὴν
υἱοῦ μουνογόνοιο παρ' ὑψίστοιο τοκῆος·
45 καὶ χάριτος πέπληθε καὶ ἀτρεκίης γενετῆρος.
ἀμφὶ δὲ σαρκοφόροιο λόγου πρωτάγγελος ἀνὴρ 15
ἁγνὸς Ἰωάννης πιστώσατο μάρτυρα φωνήν·
οὗτος ἔην, ὃν ἔειπον ἀμωμήτῳ τινὶ μύθῳ·
πρῶτος ἐμεῖο βέβηκεν, ὀπίστερος ὅστις ἱκάνει,
50 ὅττι μευ ἦν πρώτιστος, ὅτι ξύμπαντες ἀπ' αὐτοῦ 16
ἠράμεθα ζαθέου πληρώματος ὄψιμον ἄλλην
ἀντίθετον προτέρης χάριτος χάριν· ὅττι θεμίστων 17
βίβλον ὅλων γενέτης διὰ Μωσέος ὤπασε λαῷ,
καὶ χάρις ἐκ Χριστοῖο καὶ ἀτρεκίη πέλε κόσμῳ·
55 καὶ θεὸν αὐτογένεθλον ἐν ἀντιπόροισιν ὀπωπαῖς 18
οὔποτέ τις σκοπίαζεν· ἑῷ διεπέφραδε μύθῳ
κεῖνος ὁ θεσπεσίῳ μεμελημένος ἠθάδι κόλπῳ
μουνογενής, ὁμόφοιτος ἀθηήτοιο τοκῆος·

νωσεν ἐν ἡμῖν, καὶ ἐθεασαμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας. 15. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκραγεν λέγων· οὗτος ἦν ὃν εἶπον· ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. 16. ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. 17. ὅτι ὁ νόμος διὰ *Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. 18. θεὸν οὐδεὶς ἑώρακεν πώποτε· ὁ μονογενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον

---

42. οἶκος Pa. 48. ἐνὶ vulgo (ἑνὶ Pa); corr. Wernicke ad Tryph. 484. 49. ἐμὸς Pa. 51. ἡμάμεθα M. 52. ἀντιθεον L. 53. βίβλων L. 58. ὁμόφυτος Ma ἀθηήτοιο L ἀμωμήτοιο cet. codd.; idem edd. solus Marcellus offendit et coniecit ἀκιχήτοιο cf. p. 309. cf. Kinkel l. c. 10.

μαρτυρίης δ' ὅδε μῦθος, ὃν ἀμβροσίῃ τινὶ φωνῇ 19
60 πιστὸς Ἰωάννης ἐτυμόθροος ἔννεπε κῆρυξ,
Ἑβραίων ὅτε λαὸς ἐρημάδος εἰς ῥάχιν ὕλης
Λευίτας προΐαλλε καὶ ἀγρύπνους ἱερῆας,
ἦχι φυγὰς μερόπων μετανάστιος ᾤκεεν ἀνὴρ
ἔνδιον αὐτόρριζον ὀρεσσαύλοιο μελάθρου.
65 μυστιπόλοι δ' ἐρέεινον ὁμήλυδες ὀξέι μύθῳ·
τίς σὺ πέλεις; μὴ Χριστὸς ἔφυς; καὶ ἀμοιβάδι φωνῇ 20
εἶπε καὶ οὐκ ἔκρυψε καὶ οὐκ ἠρνήσατο κῆρυξ·
Χριστὸς ἄναξ οὐκ εἰμί. καὶ Ἑβραίων χορὸς ἀνδρῶν 21
πόμπιμος ἔνθεον ἄνδρα τὸ δεύτερον εἴρετο μύθῳ·
70 εἰπέ, τίς οὖν σὺ πέλεις; Θεσβίτιδος ἀστὸς ἀρούρης
Ἠλίας ἐφάνης; καὶ ἀνίαχεν· οὐ μετανάστης
ὄψιμος Ἠλίας παλινόστιμος εἰς χθόνα βαίνω.
καὶ θρασὺς ἐσμὸς ἔειπεν ἀνιπτοπόδων ἱερήων·
μὴ σύ μοι, ὃν καλέουσι, θεηγόρος ἐσσὶ προφήτης,

τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο. 19. καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν πρὸς αὐτὸν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευῖτας, ἵνα ἐρωτήσωσιν αὐτόν· σὺ τίς εἶ; 20. καὶ ὡμολόγησεν καὶ οὐκ ἠρνήσατο, καὶ ὡμολόγησεν ὅτι ἐγὼ οὐκ εἰμὶ ὁ Χριστός. 21. καὶ ἠρώτησαν αὐτόν· τί οὖν; Ἠλίας εἶ; καὶ λέγει· οὐκ εἰμί. ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη·

---

59. δ' delevit Koechly in marg., ὃν ἀμβροσίῃ L ἓν M ἐν MaPPa; in Pa in marg. γράφεται ὃ κἀμ.; in P in marg. ὃ κἀμβροσίῃ m. 2 unde A; corr. Iuvenis. 60. ἐτυμόθροον MPa κῆρυξ LPa κήρυξ cet. et edd. 61. Ἑβραίων δ' ὅδε L. 63. μετανάστιος MMa μετανάστης reliqui; et edd. — coniectura

75 ἄγγελος ἐσσομένων; καὶ ἀμείβετο δίζυγι μύθῳ·
οὐ πέλον Ἠλίας, οὐ θέσκελός εἰμι προφήτης.
καὶ πάλιν ἐσμὸς ἔειπε θεοκλήτων ἱερήων· 22
τίς τελέθεις; ἵνα πᾶσιν ἀπαγγείλωμεν ἰόντες
ἀνδράσι μυστιπόλοισιν ἀμοιβαίην σέο φωνήν,
80 ἡμέας οἳ προέηκαν ἀελλήεντι πεδίλῳ
δεῦρο μολεῖν· σὺ δὲ ποῖον ἔπος φιλοπευθέι λαῷ
ἀμφὶ σέθεν λέξειας; ὁ δὲ ζαθέης ἀπὸ βίβλου 23
ἀνέρος ἀρχεγόνοιο θεόσσυτον ἴαχε φωνήν·
φωνὴ ἐγὼ βοόωντος ἐρημάδος ἔνδοθι πέτρης·
85 οἶμον ὀφειλομένην ἰθύνατε παμβασιλῆος,
καί οἱ ἑτοιμοτάτη πελέτω τρίβος, ὡς ἐνὶ βίβλῳ
Ἡσαΐας πολύιδρις ἐπέγραφε, θέσπιδι βίβλῳ.
καὶ χορὸς ἄλλος ἄπιστος ἁμαρτινόων Φαρισαίων 24
πέμπετο καὶ σοφὸν ἄνδρα θεηγόρον εἴρετο μύθῳ· 25
90 καὶ τί σὺ βαπτίζεις; πόθεν ὕδατι φῦλα καθαίρεις,

οὔ. 22. εἶπαν οὖν αὐτῷ· τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς. τί λέγεις περὶ σεαυτοῦ; 23. ἔφη· ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης. 24. καὶ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων, 25. καὶ ἠρώτησαν αὐτὸν καὶ εἶπαν αὐτῷ· τί οὖν

---

75. δίζυγον Pa. 76. πέλον L πέλω reliqui et edd. cf. Ludwich Mus. Rhen. n. s. 35 p. 511; Ἠλίας L ante θέσκελός οὐ om. L. 80. vers. integrum exh. solus L οἳ προέηκαν ἀελλήεντι πεδίλῳ ἡμᾶς MMaP; in P in marg. sin. m_2 ἐν ἄλλῳ ἐν ἀρχῇ ἡμέας οἳ προέηκαν; οἳ προέηκαν ἀελλήεντι πεδίλω ἡμεας, sed in sin. marg. ἐν ἄλλῳ ἐν ἀρχῇ ἡμέας οἳ Pa. 84. βοῶντος L ἔνδοθεν Pa. 86. καὶ ἡ ἑτοιμοτάτη πέλει Pa. 87. ἐπέγραφε L ἐνέγραφε cet. et edd. θέσπιδι βουλῇ Koechly in marg. ὡς ἐνὶ βίβλου . . . θεσπίδι δέλτῳ Fritzsche in marg. θέσπιδι χειρί Marcellus. 88. Φαρισήων L. 89. εἴρετο L ἤρετο reliqui; idem edd. 90. τί σὺ L σὺ τί reliqui; idem edd. Laurentiani lectionem coniectura restituit Fritzsche in marg. φῦλα Koechly in marg. φῶτα vulgo.

εἰ μὴ Χριστὸς ἔφυς ὑψίζυγος οὐδὲ σὺ δίφρου
ἅρπαγος Ἠλίας ἐλατὴρ πυρὸς οὐδὲ προφήτης
πνεύματι παφλάζων, θεοδινέος ἔγκυος ὀμφῆς;
καί σφισι πευθομένοις ἔπος ἴαχε θέσκελος ἀνήρ· 26
ὑμέας αὐτὸς ἵκανον ἐγὼ καθαροῖο λοετροῦ
ὕδατι βαπτίζων· καὶ ὀπίστερος ὅστις ἱκάνει, 27
σήμερον ἡμείων μέσος ἵσταται, οὗ ποδὸς ἄκρῳ
ἀνδρομέην παλάμην οὐκ ἄξιός εἰμι πελάσσας
λῦσαι μοῦνον ἱμάντα θεοπνεύστοιο πεδίλου.
Βηθανίης πέλε ταῦτα θεουδέος ἐγγὺς ἀρούρης 28
χεύματος ἀντιπέρηθεν Ἰορδανίου ποταμοῖο.
ἀλλ' ὅτε δὴ δρόμον ἄλλον ἑκηβόλος ἤγαγεν ἠώς, 29
ἁγνὸς Ἰωάννης ἀντώπιον ὄμμα τιταίνων
Ἰησοῦν ἐνόησε καὶ ἀγχικέλευθον ἰόντα
δάκτυλον ὀρθώσας ἐπεδείκνυε μάρτυρι λαῷ·
ἠνίδε, παγγενέταο θεοῦ σχεδὸν ἀμνὸς ἐχέφρων·
οὗτος ἔην, ὃν ἔειπον· ὀπίστερος ἔρχεται ἀνήρ, 30

βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς οὐδὲ Ἠλίας οὐδὲ ὁ προφήτης; 26. *ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων· ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος *ἡμῶν στήκει (ὃν ὑμεῖς οὐκ οἴδατε),* 27. *ὁ ὀπίσω μου ἐρχόμενος, οὗ οὐκ εἰμὶ * ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος.* 28. *ταῦτα ἐν Βηθανίᾳ ἐγένετο πέραν τοῦ Ἰορδάνου, (ὅπου ἦν ὁ Ἰωάννης βαπτίζων).* 29. *τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ (ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου).* 30. *οὗτός*

---

91. *σὺ* om. M. 93. *ἔγκυος* LM *ἔγχυος* MaPPa corr. Iuvenis. 96. *ἱκάνοι* L. 97. *ἡμείων* L.

ὅς μευ ἔφυ προπάροιθεν· ἐγὼ δέ μιν οὐ πάρος ἔγνων 31
ὄμμασιν, ἀλλ' ἵνα πᾶσιν ἔχων ἄγνωστον ὀπωπὴν
110 Ἰσραὴλ τεκέεσσιν ἀσημάντοισι φανείη,
ἦλθον ἐγὼ προκέλευθος ἀκηρύκτοιο πορείης
βαπτίζων ἀδίδακτον ἀπευθέα λαὸν ἀλήτην.
καὶ πετάσας στόμα θεῖον ὅλῳ φιλοπευθέι λαῷ 32
μαρτυρίην ἀγόρευεν ἑῇ πανθελγέι φωνῇ,
115 ὅττι περ αἰθερίων κατανεύμενον ἔδρακε κόλπων
πνεῦμα θεοῦ πτερύγων πεφορημένον ἔμφρονι παλμῷ
ἀντίτυπον μίμημα πελειάδος, ἄχρις ἐπ' αὐτὸν
ἦλθε καὶ αὐτόθι μίμνεν· ἐγὼ δέ μιν οὐ πάρος ἔγνων, 33
ἀλλά μοι αὐτὸς ἔειπεν ἑῇ σημάντορι φωνῇ,
120 ὅςτις ἐμὲ προέηκε παλιγγενέων δέμας ἀνδρῶν
βαπτίζειν ἀπύροισι καὶ ἀπνεύστοισι λοετροῖς·
εἰς ὃν ἂν ἀθρήσειας ὑπηνέμιον καταβαῖνον
πνεῦμα θεοῦ νοεροῖο καὶ ἔμπεδον αὐτόθι μίμνει,

ἐστιν ὑπὲρ οὗ ἐγὼ εἶπον· ὀπίσω μου ἔρχεται ἀνήρ, ὃς ἔμπροσθέν μου γέγονεν, (ὅτι πρῶτός μου ἦν). 31. κἀγὼ οὐκ ἤδειν αὐτόν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν ὕδατι βαπτίζων. 32. καὶ ἐμαρτύρησεν Ἰωάννης, λέγων ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡς περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν. 33. κἀγὼ οὐκ ἤδειν αὐτόν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα

---

112. ἀλείτην L ἀδίδακτον ἐν ὕδατι λαὸν coniecit Koechly in marg. 115. ἔδακεν Pa παρ' Hermann cens. 992; idem Koechly in marg. 120. παλιγγενεον L. 122. ἂν om. Pa καταβαίνειν Fritzsche in marg.; idem Koechly in marg. cf. Kinkel l. c. 11 et Ludwich Beiträge 60. 123. ἔμπεδον αὐτόθι L αὐτόθι ἔμπεδον reliqui. idem edd. coniectura Laurentiani scripturam Hermann Orph. 818 restituit. μίμνειν Fritzsche et Koechly in marg. cf. Kinkel l. c. 11. μίμνον Sylburg in notis.

οὗτος ἀφωτίστοισι φάος μερόπεσσιν ὀπάσσει
125 ἐν πυρὶ βαπτίζων καὶ πνεύματι· καί μιν ὀπωπῇ 34
εἶδον ἐγὼ καὶ ἔειπον ἀληθέα μάρτυρα φωνήν,
ὅττι θεοῦ γόνος οὗτος ἀειζώοιο τοκῆος.
ἀλλ' ὅτε δὴ φάος ἄλλο παλίνδρομος ἤγαγεν ἠώς, 35
θεῖος ἀνὴρ ἔστηκε, δύω δέ οἱ ἄγχι μαθηταὶ
130 Χριστοῦ θεσπεσίης ἀδαήμονες εἰςέτι μορφῆς·
Χριστὸν ἰδὼν στείχοντα βατὴν χθόνα πεζὸν ὁδίτην, 36
ἅρματος ὑψιπόροιο μετάρσιον ἡνιοχῆα,
ἁγνὸς Ἰωάννης πάλιν ἴαχεν ἠθάδι φωνῇ·
οὗτος ἐπουρανίοιο θεοῦ λάλος ἀμνὸς ὁδεύει.
135 καὶ ζαθέην ἀίοντες ἀληθέος ἀνδρὸς ἰωὴν 37
ἀπλανέες δύο φῶτες ὀπίστεροι ἦλθον ὁδῖται
Χριστοῦ νεισσομένοιο. καὶ αὐτοδίδακτον ὀπωπὴν 38
ἐντροπαλιζομένην διδύμους ἐπὶ φῶτας ἑλίξας
ἑσπομένων ἐρέεινε συνωρίδα δίζυγον ἀνδρῶν·
140 δεῦρο τί μαστεύοντες ἱκάνετε; καὶ μίαν ἄμφω 39

καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ *καὶ πυρί. 34. κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ. 35. τῇ ἐπαύριον πάλιν εἱστήκει Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο, 36. καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι λέγει· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ. 37. καὶ ἤκουσαν οἱ δύο μαθηταὶ αὐτοῦ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. 38. στραφεὶς *δὲ ὁ Ἰησοῦς καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας λέγει αὐτοῖς· 39. τί ζητεῖτε; οἱ δὲ εἶπαν αὐτῷ· *ῥαββί, ὃ λέγεται ἑρμηνευόμενον διδάσκαλε, ποῦ

πευθομένου βασιλῆος ὁμόθροον ἴαχον αὐδήν·
ῥαββίν, ὃ καὶ καλέουσι διδάσκαλε, πῇ, πόθι ναίεις;
καὶ μίαν ἀμφοτέροισιν ἄναξ ξυνώσατο φωνήν· 40
δεῦτε καὶ ἀθρήσητε. καὶ ἤλυθον ἄχρι μελάθρου
145 καὶ μάθον, ὁππόθι ναῖεν· ὑπωρόφιοι δὲ μαθηταὶ
ἦμαρ ἐκεῖνο τέλεσσαν ἔσω Χριστοῖο μελάθρου
ἀγχίθεοι· δεκάτη δὲ ποδήνεμος ἔτρεχεν ὥρη.
καί τις ἔην, ὃς ἵκανεν ἔσω θεοδέγμονος αὐλῆς, 41
Ἀνδρείας, μερόπων ἁλιεὺς μετὰ πόντιον ἄγρην,
150 ἰχθυβόλου Σίμωνος ἀδελφεός, εἷς δέ τις αὐτῶν,
οὓς θεὸς ἐξείνισσεν· Ἰωάνναο δὲ φωνῆς
ξυνῆς εἰςαΐοντι συνέμπορος ἦεν ἑταίρῳ
ἀγχιφανής· ἄμφω δὲ μιῇ πειθήμονι βουλῇ
Χριστῷ ἐφωμάρτησαν· ὁ μὲν πρώτιστον ὁδεύων 42
155 σύγγονον εὐώδινος ἐρευνητῆρα θαλάσσης
εὗρεν ἑὸν Σίμωνα καὶ ἔννεπεν ὀξέι μύθῳ·
σύγγονε, Μεσσίαν σοφὸν εὕρομεν, ὃς θεὸς ἀνὴρ

μένεις; 40. λέγει αὐτοῖς· ἔρχεσθε καὶ ὄψεσθε. *ἦλθον οὖν καὶ εἶδαν ποῦ μένει, καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην. ὥρα ἦν ὡς δεκάτη. 41. ἦν *δὲ Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου καὶ ἀκολουθησάντων αὐτῷ· 42. εὑρίσκει οὗτος *πρῶτον τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· εὑρήκαμεν τὸν

---

142. ῥαββὶ (ras.) ὃ Ma ὅ καὶ L καὶ om. MMaPPa ὅπερ Iuvenis. πόθι L ποτε cet. et edd. 144. αθρησητε L ἀθρήσαιτε MMa ἀθρήσαιτε P sed in marg. σοι (unde A ἀθρήσοιτε) ἀθρῆσαί τε Pa εἰσόψεσθε Iuvenis. coniectura Koechly in marg. ἀθρήσητε. μέχρι M ἄγχι Koechly in marg. 146. κεῖνο voluerunt Wernicke ad Tryph. 262 et Ludwich Mus. Rhen. 35 p. 503. 148. ἵκανεν quinque posteriores literae evanuerunt et man. rec. marg. adscriptae sunt L θεοδεγμένος L.

Χριστὸς Ἰουδαίοισιν ἀκούεται Ἑλλάδι φωνῇ.
ὣς εἰπὼν ἐκόμισσεν ὁμόγνιον ὀξὺν ὁδίτην, 43
Ἰησοῦς ὅθι ναῖε· γαληναίῳ δὲ προςώπῳ
Χριστὸς ἰδὼν Σίμωνα σοφῷ μειλίξατο μύθῳ·
υἱὸς Ἰωάνναο σὺ μὲν πέλες, ἐσσὶ δὲ Σίμων
ἐργατίνης πόντοιο· σύ μοι κικλήσκεο Κηφᾶς,
δεύτερον οὔνομα δέξο νεώτερον, ἀνέρες ἄλλοι
Πέτρον ὅπερ καλέουσιν· ἐπωνυμίην δὲ καλύψει
πρεσβυτέρην Σίμωνος ὑπέρτερον οὔνομα Πέτρου,
πίστιος ἀρραγέος σημήιον. ἀλλ' ὅτε γείτων 44
ἀκροφανὴς δροσερῇσι βολαῖς πορφύρετο Σιών,
Ἰησοῦς μετὰ νύκτα λιπόσκιον ἤθελε βαίνειν
εἰς πόλιν εὐώδινα τανυπλοκάμων Γαλιλαίων.
καὶ σχεδὸν εὗρε Φίλιππον· ἄναξ δέ μιν εἶπε γενέσθαι
πιστὸν ἑὸν συνάεθλον, ὀπισθοκέλευθον ὁδίτην·
ἕσπεο καὶ σύ, Φίλιππε. καὶ εἰςέτι θερμὸς ἀκούων
οὔασι μῦθον ἔδεκτο καὶ ἴχνεσιν ἔφθασε φωνήν.
ξυνὴν δ' εἶχε Φίλιππος ἑὴν Βηθσαϊδὰ πάτρην, 45

Μεσσίαν, ὅ ἐστιν μεθερμηνευόμενον Χριστός. 43. *ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. ἐμβλέψας *δὲ αὐτῷ ὁ Ἰησοῦς εἶπεν· σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωάνου, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος.* 44. *τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· ἀκολούθει μοι.* 45. *ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδά, ἐκ τῆς*

---

158. ἀκούετο M. 160. ναίει Pa γαλληναίῳ L. 162. σύ μοι

Ἀνδρείας ὅθι ναῖεν, ὅπῃ θρασὺς ᾤκεε Σίμων.
Ναθαναὴλ δὲ Φίλιππος ἑῷ μειλίξατο μύθῳ, 46
εὑρὼν εὐπετάλοιο κάτω δρυός· ὃν σοφὸς ἀνὴρ
Μωσῆς ἀρχιγένεθλος ἐπέγραφε θέσπιδι βίβλῳ,
180 εὕρομεν, ὅν ποτε πάντες ὁμορρήτῳ τινὶ μύθῳ
ἐσσομένων κήρυκες ἐπιστώσαντο προφῆται,
Ἰησοῦν ὁσίοιο βοώμενον υἱὸν Ἰωσήφ,
Ναζαρὲθ ναετῆρα, θεοῦ γόνον. ἀγχιπόρῳ δὲ 47
Ναθαναὴλ ταχύμητις ἔπος ξύνωσε Φιλίππῳ·
185 Ναζαρὲθ δύναται καλὸν ἔμμεναι; εἰρομένῳ δὲ
σύνδρομος εἶπε Φίλιππος ἀπειροκάκῳ τινὶ μύθῳ·
ἔρχεο καὶ σκοπίαζε. καὶ ἀγχικέλευθον ὁδίτην 48
Ναθαναὴλ ταχύγουνον ἄναξ ἐπεδείκνυε λαῷ·

πόλεως Ἀνδρέου καὶ Πέτρου. 46. εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ καὶ λέγει αὐτῷ· ὃν ἔγραψεν *Μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν, Ἰησοῦν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ *Ναζαρέθ. 47. *καὶ εἶπεν αὐτῷ Ναθαναήλ· ἐκ *Ναζαρὲθ δύναταί τι ἀγαθὸν εἶναι; λέγει αὐτῷ Φίλιππος· ἔρχου καὶ ἴδε. 48. εἶδεν Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει περὶ αὐτοῦ· ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστιν.

---

176. ὅποι M. 179. ἐνέγραφε Koechly in marg. 180. ὅν περ πάντες L ὅνπερ πάντες M ποτε om. MaPPa ὃν σύμπαντες Iuvenis. Ludwich Mus. Rhen. 35, 498 ὅν ποτε legendum esse docuit. 183. ἐνναετῆρα voluit Hermann cens. 992, postea Koechly in marg. et Fritzsche in marg. cf. Ludwich Mus. Rhen. 35, 498 sq. 184. τατύμητης Pa. πολύμητις Marcellus. 185. ἐκ Ναζαρέθ' L ἐκ Ναζαρὲθ corr. e Ναραθὲθ Ma ἐκ Ναζαρὲθ MPPa ἐκ om. Iuvenis. Ναζαρὲθ ἓκ Hermann cens. 992 et Fritzsche in marg. sed cf. Ludwich Mus. Rhen. 35, 498 sq. καλὸν ἴμεν voluit Wernicke in marg. de δύναται cf. Tiedke Herm. XIII 270. 186. τινὶ L ἑνὶ (ἑνὶ Pa) cet. et edd. coniectura τινὶ Wernicke ad Tryph. 484. 188. ταχύγουν M ἐπεδείκνυε LM primus Sylburg in notis, ἐδείκνυε MaPPa.

Ἰσραὴλ γόνος οὗτος ἐτήτυμος οὔτινι τεύχων
90 ἢ δόλον ἀλλοπρόσαλλον ἢ ἀγκύλα μήδεα φαίνων.
Ναθαναὴλ δ' ἀίων ἐπεμίγνυε θαύματι φωνήν· 49
πῶς φρεσὶ γινώσκεις με, τὸν οὐ πάρος εἶδες ὀπωπῇ;
εἰπέ, πόθεν νοέεις με; καὶ ἀνέρι θέσκελον αὐδὴν
κοίρανος ὀμφήεντος ἀνήρυγεν ἀνθερεῶνος·
95 πρὶν καλέσαι σε Φίλιππον, ὑπὸ σκιοειδέι συκῇ
ἕδρακον ὑψικόμοισι παρενδιάοντα κορύμβοις
ὄμμασι κὰι πραπίδεσσι τὸν οὐ παρεόντα δοκεύων.
Ναθαναὴλ δ' ὀλόλυξεν ἔχων ταχυπειθέα βουλὴν 50
θαύματι πιστὰ μέτωπα θεουδέι χειρὶ πατάξας·
00 ῥαββίν, ἐπουρανίων ἀδύτων ὑψίθρονε ποιμήν,
Ἰσραὴλ σὺ πέλεις βασιλεύς, σὺ Χριστὸς ὑπάρχεις,
υἱὸς ἀειζώοιο θεοῦ λόγος· ἀμφότερον δέ,
Ἰσραὴλ τεκέων σε θεὸν βασιλῆα καλέσσω
καί σε θεοῦ ζώοντος ἐτήτυμον υἱὸν ἐνίψω.
05 καί μιν ἄναξ θάρσυνεν ἐς ἐλπίδα φέρτερον ἕλκων· 51
πίστιν ἔχεις ἕνα μοῦνον ἀθαμβέα μῦθον ἀκούσας,

---

49. λέγει αὐτῷ Ναθαναήλ· πόθεν με γινώσκεις; ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· πρὸ τοῦ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. 50. ἀπεκρίθη αὐτῷ Ναθαναὴλ *ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ βασιλεὺς εἶ τοῦ Ἰσραήλ. 51. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· ὅτι εἶπόν σοι ὅτι εἶδόν

---

190. μήδε' ὑφαίνων Sylburg. sed cf. Ludwich Beitr. 17.
191. ἐπεδείκνυε vulgo; corr. Marcellus et Koechly in marg. cf.

ὅττι σε μοῦνον ἔειπον ἰδεῖν ὑπὸ πυθμένα συκῆς·
ὄμμασι πιστοτέροισιν ὑπέρτερα θαύματα λεύσσεις·
μάρτυρον ἐμπεδόμυθον ἀμήν, ἀμὴν σέβας ἔστω· 52
210 οὐρανὸν ἀθρήσητε κεχηνότα θέσπιδι ῥιπῇ
πεπταμένων στεφανηδὸν ἀθηήτων κενεώνων,
ἀγγελικῆς τε φάλαγγος ἐυπτέρον ἐσμὸν ὁδίτην
αἰθερίης ὄψεσθε καταΐσσοντα κελεύθου,
οὐρανόθεν κατιόντα, παλιννόστῳ τε πορείῃ
215 οὐρανὸν εἰςανιόντα μετάρσιον, ἠεροφοίτην,
υἱέος ἀνθρώποιο διάκτορον.

ΚΕΦ. Β.

Ἀλλ' ὅτε πέτρας 1
πορφυρέας τριτάτη θαλαμηπόλος ἔγραφεν ἠώς,
ἀμφὶ πέδον Καναναῖον ἀεξιφύτου Γαλιλαίης
παιδοτόκου γάμος ἔσκε βίου πρωτοσπόρος ἀρχή·
5 καὶ γάμος ὄλβιος ἦεν, ὅτι χθονίῳ παρὰ παστῷ 2

σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψῃ. 52. καὶ λέγει αὐτῷ· ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.

1. Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ· 2. ἐκλήθη δὲ

207. παρὰ Iuvenis; codicum lectionem ὑπὸ defendit Koechly in marg. cf. Kinkel l. c. 13. 208. λεύσεις MaP. 209. ἀμήν τε ἀμὴν M. σέλας Marcellus. de hoc versu cf. Tiedke I 25. 210. εἰσόψεσθε Iuvenis. codicum lectionem ἀθρήσητε restituerunt Hermann cens. 993. Koechly in marg. Kinkel l. c. 13. 213 αἰθερίας — κελεύθους Koechly in marg. 215. εἰς ἀνιόντα L.

2. περὶ τοῦ ἐν Κανα (Κανᾷ P) γάμου PPa in marg. 4. πρωτόσπορος vulgo. corr. Rigler de Beroe Nonn. 17.

Χριστὸς ὀπισθοκόμων μερόπων θοινήτορι λαῷ
κλητὸς ἔην σύνδορπος, ὁμοκλινέες δὲ μαθηταὶ
πάντες ἔσαν στοιχηδόν. ἐς εἰλαπίνην δὲ καὶ αὐτὴ
παρθενικὴ Χριστοῖο θεητόκος ἵκετο μήτηρ
ἀχράντῳ παλάμῃ γαμίης ψαύουσα τραπέζης,
παιδοτόκος φυγόδεμνος, ἀεὶ μεθέπουσα κορείην.
οἴνου δ' ἡδυπότοιο θυώδεες ἀμφιφορῆες 3
πάντες ἐγυμνώθησαν ἐπασσυτέροισι κυπέλλοις
πινομένου, στυγνοὶ δὲ φιλακρήτῳ παρὰ παστῷ
οἰνοχόοι δρηστῆρες ἀβακχεύτοιο τραπέζης
ἀβρέκτοις παλάμῃσι μάτην ἥπτοντο κυπέλλων.
ἡμιτελῆ δὲ γάμοιο μέθην καὶ ἄοινον ὀπώρην
Χριστῷ καὶ δεδαῶτι συνέστιος ἔννεπε μήτηρ·
χρηίζει γάμος οὗτος ἀλεξικάκου σέο φωνῆς·
οὐ γὰρ ἐυρραθάμιγγος ἔχει χύσιν ἡδέος οἴνου.
καί οἱ Χριστὸς ἔειπε· τί μοι, γύναι, ἠέ σοι αὐτῇ; 4
οὔπω μοι πυμάτης δρόμος ἤλυθε κυκλάδος ὥρης.

καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. 3. καὶ οἶνον οὐκ εἶχον, ὅτι συνετελέσθη ὁ οἶνος τοῦ γάμου. εἶτα λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· οἶνος οὐκ ἔστιν. 4. *καὶ λέγει αὐτῇ ὁ Ἰησοῦς· τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα

---

7. τε vulgo; emend. Lehrs l. c. 294. de hoc vers. cf. Tiedke Herm. XIV 228. 9. ἥκετο Pa. 13. ἐπασσυτέροις κϋπέλοις Pa. 14. πινομένων Marcellus. φιλακρήτων παρα

καὶ Μαρίη δμώεσσιν ἐκέκλετο τοῦτο τελέσσαι, 5
Χριστὸς ὅπερ λέξειεν. ἀμοιβαίῳ δ' ἐπὶ τοίχῳ 6
25 κεκλιμένοι στοιχηδὸν ὁμόζυγες ἀμφιφορῆες
ἓξ ἔσαν ἢ τρία μέτρα κεχανδότες εὐρέι κόλπῳ
ἠὲ δύω, καὶ ἕκαστος Ἰουδαίοισι φυλάσσων
λαϊνέῳ κενεῶνι καθάρσιον ἔβλυεν ὕδωρ,
ἁγνὸν ὕδωρ. καὶ Χριστὸς ὑποδρηστῆρας ἐπείγων 7
30 διψάδος εἰλαπίνης οἰνοσσόον ἴαχε φωνήν·
ἀρτιχύτων ὑδάτων ἐγκύμονας ἀμφιφορῆας
πλήσατέ μοι. καὶ πάντας ἀμοιβαδὶς ἄλλον ἐπ' ἄλλῳ
νάματος ἐπλήσαντο διάκτοροι, εἰςόκεν αὐτῶν
ἀκροφανὴς εὔυδρος ἐπέστεφε χεῖλος ἐέρσῃ.
35 ἄφνω δ' ἔπλετο θαῦμα, καὶ εἰς χύσιν αἴθοπος οἴνου
χιονέην ἤμειψε φυὴν ἑτερόχροον ὕδωρ
χεύματι φοινίσσοντι, καὶ ὑδροδόκου διὰ κόλπου
ὕδατος ἀκρήτοιο φιλεύιος ἔπνεεν αὔρη.

μου. 5. λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις· ὅ τι ἂν λέγῃ ὑμῖν, ποιήσατε. 6. ἦσαν δὲ ἐκεῖ λίθιναι ὑδρίαι ἓξ κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων κείμεναι, χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς. 7. λέγει αὐτοῖς ὁ Ἰησοῦς· γεμίσατε τὰς ὑδρίας

---

24. ἀμοιβεω Pa ἀμοιβαῖοι Marcellus. ἐνὶ vulgo, correxerunt Marcellus et Koechly in marg. 26. ἓξ ἔσαν· τρία L ἓξ om. cet. ἔσσαν ad numeros explendos scripsit Iuvenis. ἢ ἔσαν ἢ emend. Hermann cens. 943. Hilberg l. c. 129 ὡς proposuit. 31. in marg. d. γρ. αὐτεγκύμονας PPa; corr. Iuvenis. 32. de hoc versu Tiedke I 14. 33. ὕδατος Koechly in marg. 34. εὔυδρον Marcellus. 35. αἴθοπος εἰς χύσιν οἴνου Ludwich Beitr. 115. 36. χρόην vulgo. Wernicke ad Tryph. 115 φυὴν probavit. cf. Tiedke I 30, Ludwich Beitr. 115; ῥοὴν Koechly in marg. χρόην ἑτερόγονον (sic) Marcellus. 38. νάματος Koechly in marg. ἔπνεεν L (coniectura Wernicke in marg. Hermann cens. 993); ἔπλεεν cet., idem edd.

οἰνωπῇ δ' ἐκέλευσεν ἄναξ σημάντορι φωνῇ· 8
κρηναίης ἀρύοντες ὑπωροφίης ἀπὸ ληνοῦ
εἰλαπίνης μεδέοντι κομίσσατε νήδυμον ὕδωρ.
οἱ δὲ χύδην ἀρύοντο παλιννόστοισι κυπέλλοις·
καὶ ταμίης ὅτε δαιτὸς ἐγεύσατο μάρτυρι λαιμῷ 9
νάματος οἰνωθέντος ἐρευθιόωντι ῥεέθρῳ —
οὐ μὲν ἀνήρ, πόθεν ἦεν, ἐπίσταται· ὑδροφόρος δὲ
ᾔδεε λάτρις ὅμιλος, ὃς ὑγροχύτων ἀπὸ κόλπων
ἄγγεσι λαϊνέοις μετανάστιον ἤφυσεν ὕδωρ —
εἰλαπίνης τότε πομπὸς ἔσω μεγάροιο καλέσσας 10
νυμφίον ἀρτιχόρευτον ἑῷ προσπτύξατο μύθῳ·
πᾶς μὲν ἀνὴρ πρώτιστον ἐύχροον οἶνον ἀφύσσων
κιρνάμενος προτίθησι, βαρυνομένων δὲ καρήνων

ὕδατος. καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. 8. καὶ λέγει αὐτοῖς· ἀντλήσατε νῦν καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ. οἱ δὲ ἤνεγκαν. 9. ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον. καὶ οὐκ ᾔδει πόθεν ἐστίν· οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ, φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος 10. καὶ λέγει αὐτῷ· πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησιν, καὶ ὅταν μεθυσθῶσιν, τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι.

---

39. οἰνώπηι L οἰνωπῇ in textu sed in marg. γρ. οἰ νώ πη P Pa οἰνωπῇ Ma M οἰνώπῃ Iuvenis. οἰνοχόοις Koechly in marg., quod Kinkel l. c. 13 probat. οἰνόπτῃ (quod iam Sylburg in notis coniecerat) sive οἰνοδότοις Marcellus. 40. ὑπορροφίης L

ἄνδρας ἰδὼν μεθύοντας ἐλάσσονα δεύτερον οἶνον
ὀψὲ φέρει· σὺ δὲ τοῦτον ὑπέρτερον ἔνδοθεν οἴκου
οἶνον ἔχων ἐφύλαξας, ἕως πέλε λοίσθιος ὥρη.
55 πρωτοφανὲς τόδε θαῦμα φιλακρήτῳ παρὰ παστῷ 11
Ἰησοῦς ἐτέλεσσεν, ὅπῃ Καναναῖον ἀκούει
ἔνδιον αἰπύδμητον ἀκερσικόμων Γαλιλαίων.
Ἑβραίοις δ' ἀνέφηνεν ἑὴν ὑψαύχενα τιμὴν
διψαλέην παρὰ δαῖτα· διχοστασίην δὲ μενοινῆς
— — — — — — — — — —
60 ἤθεσιν ἀκλινέεσσιν ἐπιστώσαντο μαθηταί.
οὐ μὲν ἄναξ δήθυνε πέδον Καναναῖον ἀμείβειν 12
νυμφιδίην μετὰ δαῖτα μεθυσφαλέων ὑμεναίων·
ἀλλὰ Καφαρναοὺμ ἁλιγείτονος ἕδρανα βαίνων
νόστιμον ἴχνος ἔκαμψε, καταιβάτιν οἶμον ὁδεύων,
65 αὐτὸς ὁμοῦ γνωτοί τε συνήλυδες· αὐτογόνῳ δὲ
παρθένος ὠμάρτησε θεητόκος υἱέι μήτηρ·
οἷσι δυωδεκάριθμος ὁμόστολος εἶχεν ὁδεύων
ἀγχιθέων μίαν οἶμον ὀπίστερος ἑσμὸς ἑταίρων.

---

11. ταύτην ἐποίησεν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ. 12. μετὰ τοῦτο κατέβη εἰς Καφαρναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐκεῖ *ἔμειναν οὐ πολλὰς ἡμέρας.

---

57. ἀκερσεκόμων Passow. cf. quae Koch in Mus. Rhen. 1856 p. 194 disputavit et Kinkel l. c. 14. 59. lacunam indicavit Koechly de paraphr. 8. 61. πέσδον L ἀκούων L M Ma P ἄκουων Pa ἀκοῦον Iuvenis. ἐνοικῶν Marcellus ἐᾶσαι Koechly in marg., quod probavit Kinkel l. c. 14. ἀμείβων Fritzsche in marg. ἀμείβειν ipse. 63. Καφαρναοῦμ L de hoc versu cf. Tiedke Herm. XIII 66. 64. ἔκαψε Pa. 65. ὁμογνητοί Koechly in marg.

οὐδὲ μὲν αὐτόθι μίμνεν ἐς ἤματα πυκνὰ θαμίζων·
70 ἐγγύθι γὰρ τότε πάσχα· θυηπολίην δὲ γεραίρων 13
εὐαγέων ἀνέβαινεν ἐς ἕδρανον Ἱροσολύμων
σὺν πινυτοῖς ἑτάροισι. θεοκλήτῳ δ' ἐνὶ νηῷ 14
εὐκεράους βόας εὗρε καὶ εἰροπόκων στίχα μήλων
καὶ στικτὰς μελέεσσι πελειάδας· ἑζόμενον δὲ
75 κερμοδότην χορὸν εὗρε φιλοπλούτοιο τραπέζης·
καὶ πολὺν ἐσμὸν ὄπωπε φιλέμπορον ὑψόθι θώκων
ὤνιον ἔργον ἔχοντα. καὶ ἐν παλάμῃσιν ἑλίξας 15
σύμπλοκον ἐκ σχοίνοιο νόθην ποίησεν ἱμάσθλην
καὶ βοέην ἀγέλην ἐξήλασε καὶ στίχα μήλων
80 νόσφι δόμου θυόεντος· ἐπασσυτέρην δὲ κυλίνδων
κύμβαχον ἠκόντιζε μετάτροπον ἔμπορον ἕδρην
ἐξ ἱεροῦ δαπέδοιο, κυβιστητῆρι δὲ παλμῷ
ἐξέχεεν χθονὶ κέρμα παλιστρέπτοιο τραπέζης.
ἀνδρὶ δὲ πιπρήσκοντι πελειάδας ἴαχε φωνήν· 16

---

13. καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς *καὶ οἱ μαθηταὶ αὐτοῦ. 14. καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστερὰς καὶ τοὺς κερματιστὰς καθημένους. 15. καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τά τε πρόβατα καὶ τοὺς βόας, καὶ τῶν κολλυβιστῶν ἐξέχεεν τὸ κέρμα καὶ τὰς τραπέζας ἀνέστρεψεν, 16. καὶ *τῷ τὰς περιστερὰς *πωλοῦντι εἶπεν. ἄρατε ταῦτα ἐντεῦθεν, *καὶ μὴ ποιεῖτε τὸν

---

71. ἱεροσολύμων L M P Pa ἱροσολύμων Ma. corr. Iuvenis.

85 ταῦτα μεταστήσασθε λιθώδεος ἔκτοθι νηοῦ
μηδὲ φιλοκτεάνοιο νόου βεβαρηότες οἴστρῳ
ἐμπορίης δόμον ἁγνὸν ἐμοῦ τελέσητε τοκῆος·
εὐχῆς γὰρ τόδε δῶμα. καὶ ἐμνήσαντο μαθηταί, 17
ὅττι θεοπνεύστῳ κεχαραγμένον ἔπλετο βίβλῳ·
90 ζῆλος ἐμὲ ζαθέοιο τεοῦ καταδαίνυται οἴκου.
καί οἱ ἀπειλήτειραν ἀνήρυγε λαὸς ἰωήν· 18
ποῖα παρ' Ἑβραίοις ἑτερότροπα σήματα δείξεις,
ὅττι σὺ ταῦτα τέλεσσας; ἀμιλλητῆρι δὲ λαῷ 19
θαμβαλέην ἄγνωστον ἄναξ ἠρεύγετο φωνήν·
95 λύσατε τοῦτο μέλαθρον, ἐγὼ δέ μιν αὐτὸς ἐγείρω
ἤμασιν ἐν τρισσοῖσιν. ἐπεφθέγξαντο δὲ λαοί· 20
ὃν Σολομὼν ποίησε λίθων ἑτερόχροϊ κόσμῳ
εἰς δολιχὴν βαλβῖδα παλινδίνητον ὑφαίνων
ἓξ καὶ τεσσαράκοντα φιλοκτίστων ἐνιαυτῶν,
100 κτίσμασιν ὁπλοτέροισι παλίλλυτον οἶκον ἐγείρεις
τοσσατίην μετὰ νύσσαν ἐπὶ τριτάτης δρόμον ἠοῦς;

οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου. 17. *καὶ ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι γεγραμμένον ἐστίν· ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί με. 18. ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπαν αὐτῷ· τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς; 19. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. 20. εἶπον οὖν οἱ Ἰουδαῖοι τεσσαράκοντα καὶ ἓξ ἔτεσιν οἰκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ

---

85. μεταστήσεσθε L μεταστήσασθε (ε in ras.) Pa. 86. μὴ δε L μὴ δὲ MaPPa. 87. ἁγνὸν] οἶκον Marcellus. post 87 Fritzsche in marg. lacunam indicavit. 90. καταδαίνυται (ται ex το corr.) M. 92. δείξης M. 96. ἤμασι τρισσοῖσιν Pa. 97. ἐποίησε M. 100. ἐγείρεις L ἐγείρης ex εις Ma ἐγείρης cet. (Pa ἐγείρης). idem edd. Kinkel l. c. 14 praefert ἐγείρης. 101. νύσσαν] νῆσιν Marcellus.

κεῖνος νηὸν ἔειπεν ἑοῦ χροός, ὅν τινι θεσμῷ 21
φρικτῷ Χριστὸς ἔμελλεν ἐπὶ τρίτον ἦμαρ ἐγείρειν.
ἀλλ' ὅτε δὴ μετὰ κόλπον ἀνοστήτοιο βερέθρου 22
105 νόστιμος ἐξ Ἀίδαο παλινζώῳ τινὶ πότμῳ
ἀρχαίην παλίνορσος ἐὴν ἀνεδύσατο τιμὴν
οὐρανίην, τότε μοῦνον ἀνεμνήσαντο μαθηταί,
ὅττι δόμον δέμας εἶπε· θεογλώσσοιο δὲ βίβλου
θεῖον ἐπιστώσαντο λόγον πείθοντό τε μύθῳ,
110 Ἰησοῦς ὃν ἔειπε. θεοδμήτῳ δ' ἐπὶ νηῷ 23
ἄχρις ἔην καὶ ἔδεθλα διέστιχεν Ἱροσολύμων
εὐάζων ἔτι πάσχα, καὶ ἀρνοφάγων ἱερήων
ὄργια μυστιπόλευε φιλόκροτα θυιὰς ἑορτή,
πολλοὶ λύσσαν ἄπιστον ἐπετρέψαντο θυέλλαις
115 Χριστοῦ πίστιν ἔχοντες ἐς οὔνομα· πειθομένοις δὲ 24
ἀνδράσιν οὐ πίστευεν ἑὸν 25

ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν; 21. ἐκεῖνος δὲ ἔλεγεν περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. 22. ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγεν, καὶ ἐπίστευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ ὃν εἶπεν ὁ Ἰησοῦς. 23. ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ (θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει)· 24. αὐτὸς δὲ Ἰησοῦς οὐκ ἐπίστευεν αὐτὸν αὐτοῖς (διὰ τὸ αὐτὸν γινώσκειν πάντας), 25. (καὶ) ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ *τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκεν τί ἦν ἐν τῷ ἀνθρώπῳ.

---

102. μύθῳ vulgo. corr. Tiedke I 36, cui adsentitur Koechly in marg. 103. κρυπτῷ Marcellus. 105. ποτμω τ ex π corr. L. 106. παλίνορσον vulgo: corr. Wernicke ad Tryph. 78:

. . . . . νοόν· οὐ γὰρ ἀκούειν
ἄλλου φθεγγομένοιο νόθης ἐπεδεύετο φωνῆς,
ὄφρα μάθῃ νόον ἀνδρὸς ἀμάρτυρον· ἔργα δὲ φωτῶν
ᾔδεεν αὐτοδίδακτος, ὅσα φρενὸς ἔνδοθεν ἀνὴρ
120 εἶχεν ἀκηρύκτῳ κεκαλυμμένα φάρεϊ σιγῆς.

ΚΕΦ. Γ.

Ἦν δέ τις ἱερὸν αἷμα νοοπλανέων Φαρισαίων, 1
ἀρχὸς Ἰουδαίων πολυλήιος, ἔννομος ἀνήρ·
οὔνομά οἱ Νικόδημος· ἀμάρτυρος οὗτος ὁδίτης 2
Χριστῷ νυκτὸς ἵκανε φυλασσομένῳ ποδὶ βαίνων·
5 ἔννυχος εἰς δόμον ἦλθεν, ὅπῃ φάος· ἀνδρὶ δὲ πιστῷ
Ἰησοῦς ἐνέπων βαπτίσματος ἔνθεον αἴγλην
νυκτιφανῆ Νικόδημον ἑῷ φαιδρύνατο μύθῳ,
καί οἱ μῦθον ἔλεξε θεῷ πειθήνιος ἀνήρ·
ῥαββὶν ποικιλόμυθε, θεοφραδὲς ἴδμεν ὀπωπαῖς,
10 ὅττι θεοῦ πομπῇσι διδάσκαλος ἵκεο κόσμου
ἀνδρομέου βιότοιο βοηθόος· οὐ δύναται γὰρ

---

1. Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων· 2. οὗτος ἦλθεν πρὸς αὐτὸν νυκτὸς καὶ εἶπεν αὐτῷ· ῥαββί, οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ δύναται ταῦτα τὰ σημεῖα ποιεῖν

---

120. φαρε cetera desunt; in marg. linea manu recent. facta est, fortasse ut finis capitis indicaretur Pa.

1. γοοπλανέων P quod corr. Bordatus in marg. περὶ νικοδήμου in marg. P. 3. οὔνομα δ' ἦν M οἱ om. Ma οἱ alt. man. P. 4. versum delevit ut spurium Fritzsche in marg. 5. ἦλθεν om. M Ma alt. m. suprascr. P. 6. ἐννέπων Pa. νυκτιφανῆ γρ. νυκτιφάνη
7. νυκτὶ φάνη L νυκτιφαῆ P νυκτιφάεινος Pa. 8. καὶ τότε Marcellus. 11. βοηθὸς L βοηθόος ex βοο Ma.

θνητὸς ἀνὴρ τάδε πάντα πολύτροπα θαύματα τεύχειν,
ὅσσα σὺ θεσπεσίῳ τελέεις παιήονι μύθῳ,
εἰ μή οἱ συνάεθλος ἀλεξίκακος θεὸς εἴη.
15 Ἰησοῦς δ' ἀγόρευεν ἀσημάντῳ τινὶ μύθῳ· 3
εἰ μή τις μετὰ κέντρα τελεσσιγόνοιο λοχείης
θνητὸς ἀνὴρ τίκτοιτο τὸ δεύτερον, αἰθέρος αὐλῆς
οὐ δύναται βροτὸς οὗτος ἰδεῖν αἰώνιον ἀρχήν.
καὶ κεράσας Νικόδημος ἀνήρυγε θαύματι φωνήν· 4
20 πῶς δύναται μετὰ γῆρας ἀνήρ, μετὰ λευκάδα χαίτην
ἄλλην ὀψιτέλεστον ἔχειν ὠδῖνα γενέθλης;
μὴ δύναται δίχα πατρὸς ἀεξιτόκου διὰ κόλπου
μητέρος ἀρχαίης ἐγκύμονα γαστέρα δύνων
θεσμὸν ἰδεῖν γονόεντα παλινυόστου τοκετοῖο;
25 Ἰησοῦς δ' ἀπάμειπτο διδάσκαλον ἄνδρα διδάσκων· 5
εἰ μή τις καθαροῖσι δέμας λουτροῖσι καθαίρων
πνεύματος ἐξ ἁγίοιο καὶ ὕδατος εἰν ἑνὶ θεσμῷ,
ὁπλοτέρην δέξοιτο γενέθλιον ἄσπορον ἀρχὴν

ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ. 3. ἀπεκρίθη Ἰησοῦς* (ἀμὴν ἀμὴν λέγω σοι,) ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ. 4. λέγει πρὸς αὐτὸν ὁ Νικόδημος· πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι; 5. ἀπεκρίθη Ἰησοῦς· (ἀμὴν ἀμὴν λέγω σοι,) ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος,

---

12. ad hunc versum manu rec. Νόννου παράφρασις εἰς τὸ

ἀντίτυπον μίμημα γυναικείου τοκετοῖο,
30 οὐ δύναται βροτὸς οὗτος ἐπεσσομένοιο νοῆσαι
οὐρανίην αἰῶνος ἀτέρμονος ἥλικα τιμήν·
καὶ γὰρ ὅπερ μερόπων χθονίη διεώσατο γαστήρ, 6
σαρκὸς ἀπὸ βροτέης μορφούμενον, ἀνδρομέη σὰρξ
τοῦτο πέλει· τὸ δὲ θεῖον, ὅπερ καθαροῖο λοετροῦ
35 πνεύματος αὐτογόνοιο πέλει τετελεσμένον ἄτμῳ,
πνεῦμα πέλει ζωαρκές, ἀμαιεύτῳ τινὶ θεσμῷ
αὐτόματον βλάστημα παλλιγγενέος τοκετοῖο·
καὶ μὴ θάμβος ἔχητε θεοφραδέος περὶ μύθου, 7
ὑμέας εἴπερ ἔειπον, ὅτι χρέος ἐστὶ νοῆσαι
40 ὕδατι τικτομένης ἑτέρην βαλβῖδα γενέθλης·
πνεῦμα παλινδίνητον ἀθηήτῳ τινὶ παλμῷ 8

οὐ δύναται *ἰδεῖν τὴν βασιλείαν τῶν οὐρανῶν. 6. τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν. 7. μὴ *θαυμάσητε ὅτι εἰπόν σοι· δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. 8. τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται

---

30. οὗτος om. L. 32. διεσώσατο V διεσώσατο in d. marg. γρ. διεώσατο Pa. 35. πέλει καθαροῖο λοετροῦ (λουετροῦ V) vulgo; Marcellus hos duos versus hoc modo emendari vult:

τὸ δὲ θεῖον ὅπερ καθαροῖο ῥεέθρου
πνεύματος αὐτογόνοιο πάλαι κάθηρε λόετρον.

refutavit alterius vers. finem Ludwich Beitr. 60*. dedi ex emendatione, quam Fritzsche in marg. adscripserat. 36. duplicis scripturae θεσμῷ et δεσμῷ vestigia habet P. cf. Tiedke I 36. 37. totum versum om. MaM in textu om. sed in marg. man. rec. adscriptus est fine in τόκοιο depravato P βλάστη παλιγγενέος τόκοιο (post οι ras.) Pa corr. Bogardus. 38. μὴν. Pa ἔχητε L ἐχῆτε V ἔχητε sed fortasse ἔχησε M ἔχησε Ma ἔχη σε alt. m. supra τε P ἔχη τε σὲ Pa. Fritzsche in marg. e coni. ἔχῃ σε. 40. ὕδατι] ὕψοθε Fritzsche in marg. τικτομένην vulgo; correxerunt Koechly in marg. et Fritzsche in marg. 41. θεσμῷ V. παλμῷ

οἶδε περιπνείειν, ὅθι βούλεται· ἀγχιφανῆ δὲ
φωνῆς ἠερίης θεοδινέα βόμβον ἀκούεις,
οὔασιν ὑμετέροις πεφορημένον· ἀλλὰ δαῆναι
45 οὐ δύνασαι βλεφάροις, πόθεν ἔρχεται ἢ πόθι βαίνει·
οὕτω παντὸς ἔφυ τύπος ἀνέρος ἐκ πυρὸς ὑγροῦ
πνεύματι τικτομένοιο καὶ οὐ στροφάλιγγι κονίης.
ἔννεπε, καὶ Νικόδημος ἀμείβετο· ταῦτα γενέσθαι 9
πῶς δύναται; καὶ Χριστὸς ἀνήρυγε θέσκελον ὀμφήν· 10
50 Ἰσραὴλ σὺ μέν ἐσσι διδάσκαλος, οὐ νοέεις δέ,
ἀλλά σε ταῦτα λέληθεν, ἐμὴν δ' οὐκ οἶσθα μενοινήν·
μάρτυρον ἐμπεδόμυθον ἀμήν, ἀμὴν πάλιν ἔστω· 11
θεσπεσίης τόπερ ἴδμεν ἐτήτυμον ἔγκυον ὀμφῆς,
φθεγγόμεθα σπείροντες ἐς οὔατα δύσμαχα φωτῶν
55 χείλεσιν ἀπλανέεσσι, καὶ ἡμετέροιο τοκῆος
ὅσσα παρ' ὑψιμέδοντος ἐμαὶ δεδάασιν ἀκουαί,
μαρτυρίης κήρυκι διδάσκομεν ἴδμονι φωνῇ·
ἡμετέρην δ' ἀδίδακτος ἀκηλήτων νόος ἀνδρῶν
πιστὴν μαρτυρίην οὐ δέχνυται· ἀπλανέων δὲ 12

*ἢ ποῦ ὑπάγει· οὕτως ἐστὶν πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος. 9. ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ· πῶς δύναται ταῦτα γενέσθαι; 10. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ καὶ ταῦτα οὐ γινώσκεις; 11. ἀμὴν ἀμὴν λέγω σοι ὅτι ὃ οἴδαμεν λαλοῦμεν καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. 12. εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ

42. περιπνείην V. 44. ἡμετέροις L. 45. πόθι LV

60 εἴ τινα μῦθον ἔειπον ἐπιχθονίων χάριν ἔργων,
καὶ τόσον ὑμείων βαρυπειθέες εἰσὶν ἀκουαί,
εἰ στρατιὴν πτερόεσσαν ἢ αἰθέρος ἔργα βοήσω,
μᾶλλον ἀπειρήτοισι πόθεν πείθεσθε μενοιναῖς
οὐρανίης ἀίοντες ἀθηήτου φύσιν ὕλης;
65 οὔποτε δὲ βροτὸς ἄλλος ὑπηνέμιον πόδα πάλλων 13
οὐρανίων ἐπάτησεν ἀνέμβατον ἄντυγα κύκλων,
εἰ μὴ θέσκελος οὗτος, ὃς ἀθανάτην ἓο μορφὴν
οὐρανόθεν κατέβαινεν ἀήθεϊ σαρκὶ συνάπτων,
ἀνθρώπου μόνος υἱός, ὃς ἀστερόεντι μελάθρῳ
70 πάτριον οὖδας ἔχων αἰώνιος αἰθέρα ναίει·
καὶ σκοπιῆς παρὰ πέζαν ἐρημάδος οἷά τε Μωσῆς 14
δακνομένων ὕψωσεν ὄφιν ληθήμονα φωτῶν
δουρατέης μεθέποντα τύπον ποιητὸν ἀκάνθης,
οὕτω γυιοβόρων τελέων ἀλκτήρια νούσων
75 καὶ πάις ἀνθρώποιο βροτοῖς ὑψούμενος ἔσται,
λυσιπόνου μίμημα δρακοντείοιο προςώπου,

ἐπουράνια *πιστεύετε; 13. καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. 14. καὶ καθὼς *Μωσῆς ὕψωσεν τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀν-

---

καὶ οὐ πιστεύετε πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια πιστεύσητε PPa in marg. 62. postposuit vers. 64 Marcellus. 63. φάτιν Marcellus. 66. ἀνέμβαντον M. 68. καταίβαινεν VM ἀήθεϊ Ma ἀήθεϊ sed in marg. γράφεται ἀήθεα PPa ἀήθεα LMV ἀήθεϊ Passow e coniectura, quod probavit Kinkel l. c. 15. 70. αἰώνιον Koechly in marg. 72. δακνωμενων L δηλήμονα vulgo χραισμήτορα Koechly in marg. ipse correxi; in PPa supra δακνομένων nota ·/· et in margine καὶ κάθως Μωυσῆς ὕψωσεν τὸν ὄφιν ἐν τῇ ἐρήμῳ οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου ἵνα πᾶς ὁ πιστεύων ἐπ' αὐτὸν οὐ μὴ ἀπόλληται. 73. δουρατέης] χαλκείης sive χαλκοδέτης (!) Marcellus. 76. δρακοντείου Pa.

ὄφρα μιν ὃς δέξοιτο νόου πειθήμονι θεσμῷ, 15
ζωῆς κυδιάνειραν ἐσαθρήσειε γαλήνην,
εἰς ὅσον εὐρυγένειος ἑλίσσεται ἔμπεδος αἰών·
80 οὕτω γὰρ πολύμορφον ἐφίλατο κόσμον ἀλήτην 16
ὑψιμέδων σκηπτοῦχος, ὅτι χραισμήτορα φωτῶν
μουνογενῆ λόγον υἷα πόρεν τετράζυγι κόσμῳ,
ὄφρα μιν ὃς δέξοιτο μετάτροπον ἦθος ἀμείψας,
πίστιν ἐς ἀστυφέλικτον ἑκούσιον αὐχένα κάμπτων,
85 ζωῆς οὐρανίης αἰώνιον εἰς χορὸν ἔλθῃ
ναίων ἄφθιτον οἶκον ἐν εὐδένδρῳ παραδείσῳ·
οὐ γὰρ ἑὸν λόγον υἷα πατὴρ θεὸς ὤπασε κόσμῳ, 17
κόσμον ἵνα κρίνειε προώριον, ἀλλὰ πεσοῦσαν
ἀνδρομέην ἵνα πᾶσαν ἀναστήσειε γενέθλην·
90 ὃς δέ μιν ἀπλανέος κραδίης μειλίξατο θεσμῷ 18
ῥίψας ἠερίοισιν ἀπειθέα λύσσαν ἀήταις,
ὀρθὴν πίστιν ἔχων οὐ κρίνεται· εἰ δέ τις ἀνὴρ
ἀνδρομέην ἐπὶ σάρκα νοοσφαλὲς ὄμμα τιταίνων
τολμήεις ἐπέτασσε θεημάχον ἀνθερεῶνα,

θρώπου, 15. ἵνα πᾶς ὁ πιστεύων *ἐπ' αὐτὸν ἔχῃ ζωὴν αἰώνιον. 16. οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν* ἔχῃ ζωὴν αἰώνιον. 17. οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν *αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. 18. ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ *δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν

---

95 ἀνὴρ κέκριται οὗτος, ὅτι βραδυπειθέι θυμῷ
οὔπω πίστιν ἔδεκτο καὶ οὐ μετέθηκε μενοινὴν
υἱέος ὑψίστοιο θεοῦ γενέταο πιθήσας
τηλυγέτου βασιλῆος ἐς οὔνομα· δυςσεβέος δὲ 19
κόσμου σύγγονος ἥδε πέλει κρίσις· οὐρανόθεν γὰρ
100 εἰς χθόνα φέγγος ἵκανε, καὶ ἀσταθέων γένος ἀνδρῶν
φέγγεος ἀστράπτοντος ἐφίλατο μᾶλλον ὀμίχλην,
καὶ φάος οὐ ποθέουσιν, ὅσον ζόφον· ἔργα γὰρ αὐτῶν
λοξὰ πέλει, καὶ πᾶς τις ἀνὴρ ἀθεμίστια ῥέζων, 20
ἄξια νυκτὸς ἔχων, στυγέει φάος· οὔποτε βαίνει
105 εἰς φάος ἀγχικέλευθος, ὅπως μὴ φέγγος ἐλέγξῃ
ἔργα, τάπερ τελέει κρυφίῃ κεκαλυμμένα σιγῇ·
ὃς δὲ θεουδείῃσιν ἐτήτυμα πάντα φυλάσσει, 21
ἵξεται αὐτοκέλευστος, ὅπῃ φάος, ὄφρα φανείη
ἔργα, τάπερ ποίησε θεοῦ τετελεσμένα βουλῇ.

εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ. 19. αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγαπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· ἦν γὰρ αὐτῶν πονηρὰ τὰ ἔργα. 20. πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ· 21. ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν θεῷ ἐστιν εἰργασμένα.

---

95. ἀνὴρ ἁ contectum est V. Lehrs l. c. 271 κέκριται οὗτος ἀνήρ, quod reiecit Tiedke I 12 et Herm. XIII 66; ipse Zeitschr. f. d. ö. G. 1878 p. 899 nihil mutandum esse docui. Fritzsche in marg. 'facilius corrigas κέκριται ἀνὴρ κτλ.' (!) cf. Hilberg l. c. 129. 101. ὀμίχλην L Ma ὁμίχλην cet. et edd. ὀμίχλην probat Koechly in marg. 103. cf. Ludwich Mus. Rhen. 35, 505. 104. ἑκὼν Marcellus ἐπεὶ Fritzsche in marg. 106. κρυφῆι Pa κρίφιη M. 107. θεουδέῃσιν Pa. 108. αὐτοκέλευθος V

110 ἔννεπε καὶ μετέπειτα πέδον Γαλιλαῖον ἐάσας 22
ἁγνὸν Ἰουδαίων ὑπεδύσατο κόλπον ἀρούρης.
καὶ θεὸς αὐτόθι μίμνε σὺν ἀντιθέοισι μαθηταῖς
ναιετάων ὀθνεῖον ἐναύλιον· ἀγχιπόρου δὲ
γαίης αἰόλα φῦλα σοφῷ βαπτίζε ῥεέθρῳ
115 σμήχων ἀνδρομέης κραδίης ῥύπον· ἦν δὲ καὶ αὐτὸς 23
θεῖος Ἰωάννης θεοπειθέα λαὸν ἀλήτην
ὕδατι βαπτίζων βαθυκύμονος ἐγγύθι Σαλήμ·
κεῖθι γὰρ εὐρυπόροιο κυλινδομένου ποταμοῖο
χεύμασιν ἀενάοις κυμαίνεται ἄφθονον ὕδωρ,
120 ἄρκιον εἰν ἑνὶ πᾶσιν· ἐκυκλώσαντο δὲ λαοὶ
εὐσεβίης ἕνα φῶτα καὶ ὀψινόῳ μετανοίῃ
ἀμπλακίας νίπτοντες ἐφαιδρύνοντο ῥεέθροις·
οὔπω γὰρ διὰ λέκτρον ἀμερσιγάμου βασιλῆος 24
οἶκον ἀειφρούρητον ἐδύσατο πομπὸν ὀλέθρου,
125 θεῖος ἀνὴρ βαρύδεσμος· ἔρις δέ τις ἀμφὶ καθαρμοῦ 25

---

22. μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν, καὶ ἐκεῖ διέτριβεν μετ' αὐτῶν καὶ ἐβάπτιζεν. 23. ἦν δὲ καὶ Ἰωάννης βαπτίζων (ἐν Αἰνὼν) ἐγγὺς τοῦ *Σαλήμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ, καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο· 24. οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν Ἰωάννης. 25. ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου περὶ

---

110. ἐάσσας L. 111. ἐπεβήσατο Koechly in marg. 114. βαπτίζετο ῥείθρῳ vulgo. corr. Passow, quod probavit Hermann cens. 993, Ludwich Beitr. 132, ipse Quaest. N. I 50, Koechly in marg. 115. ἡ LMaPM corr. Iuvenis. 117. [illegible]

ἔπλετο μυστιπόλοισιν Ἰωάνναο μαθηταῖς
Ἑβραίου μετὰ φωτός· ἐπειγομένῳ δὲ πεδίλῳ 26
ἦλθον ἐς ἀνέρα θεῖον, ἐμειλίξαντο δὲ μύθῳ
λεπτοφυεῖ λασίῳ πεπυκασμένον ἄνδρα χιτῶνι·
130 ῥαββίν, ἀλεξικάκων ὑδάτων πρωτόθροε κῆρυξ,
ὅςτις ἔην μετὰ σεῖο πέρην ποταμοῖο ῥοάων,
ὃν σὺ θεοῦ γεγαῶτα σοφῷ πιστώσαο μύθῳ,
οὗτος ἔχων μίμημα τεοῦ καθαροῖο λοετροῦ
βαπτίζει πολὺ μᾶλλον· ὁμοζήλῳ δὲ μενοινῇ
135 συμμιγέες νεφεληδὸν ὅλοι σπεύδουσι πολῖται
ἱέμενοι κείνοιο τυχεῖν θείοιο λοετροῦ.
καί σφιν ἀνειρομένοισιν ἐτήτυμος ἔννεπεν ἀνήρ· 27
οὐδὲν ἑλεῖν δύναταί τις, ἐπουρανίων ἀπὸ κόλπων
εἰ μὴ τοῦτο γέρας θεόθεν κεχαρισμένον εἴη·
140 ὑμεῖς μάρτυρές ἐστε δαήμονες, ὁππότε λαοῖς 28
ἀμφαδίην ἀγόρευον ἐμὴν ἀψευδέα φωνήν·
Χριστὸς ἄναξ οὐκ εἰμὶ βιοσσόος, ἀλλά με κείνου
ὑψιμέδων προέηκε θεὸς πομπῆα κελεύθου·

καθαρισμοῦ. 26. καὶ ἦλθον πρὸς τὸν Ἰωάννην καὶ εἶπον αὐτῷ· *ῥαββί, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. 27. ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν· οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. 28. αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε ὅτι εἶπον· ἐγὼ οὐκ εἰμὶ ὁ Χριστός, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου.

---

128. θυμῷ sed in marg. d. μύθῳ V. 129. delevit Marcellus. 130. πρωτόθροε sed in marg. sin. γρ. πρωτόθρονος PPa κῆρυξ LV κήρυξ cet. et edd. 137. ἀμειβομένοισιν codd. (ἀμειβομένοισι Pa) et edd. corr. Iuvenis. εἶπεν in marg. ἔννεπεν V. 140. ὁπότε M.

νύμφην ὅςτις ἔχει, πέλε νυμφίος· ἀγχιφανὴς δὲ 29
145 κείνου φθεγγομένοιο καὶ ἱςτάμενος καὶ ἀκούων,
οὔασι θελγομένοισι δεδεγμένος ἠθάδα φωνήν,
χάρματι πιστὸς ἑταῖρος ἀγάλλεται· ἡμετέρη δὲ
τερπωλὴ τετέλεςτο πολύλλιτος· ἀγχινεφῆ μὲν 30
κεῖνον ἀεὶ χρέος ἐςτὶν ἔχειν παλιναυξέα τιμὴν
150 ὡς θεὸν ἀθανάτην, ἐμὲ δὲ βροτόν ἐςτιν ἀνάγκη
ἥσσονα μέτρα φέρειν, ὅτι μείονός εἰμι γενέθλης·
οὗτος, ὃς ὑψόθεν ἦλθεν ἐπουρανίων ἀπὸ κόλπων, 31
πάντων ὕψι βέβηκεν· ὁ δὲ χθονὸς αἷμα κομίζων,
φθεγγόμενος χθονὸς ἔργα πέλει γαιήιος ἀνήρ·
155 ὃς δὲ δι' αἰθερίου θεοδέγμονος ἵκετο κόλπου,
φθέγγεται, οὐρανόθεν τόπερ ἔκλυεν, οὐδέ τις αὐτοῦ 32
μαρτυρίην ζαθέην ἐπιδέχνυται· ὃς δέ οἱ ἀνὴρ 33
μάρτυρα μῦθον ἔδεκτο θεηγόρον ἀνθερεῶνος,
ἀψευδὴς βροτὸς οὗτος ἑῷ σφρηγίσσατο μύθῳ,

---

29. ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. 30. ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. 31. ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν. ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς ἐστὶν καὶ ἐκ τῆς γῆς λαλεῖ· ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ὃ (ἑώρακεν καὶ) ἤκουσεν, τοῦτο μαρτυρεῖ. καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. 33. ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι

---

144. ἀγχιφανὲς V. 145. καὶ om. Pa. 146. ἑςδέγμενος V.
153. ὄμμα L. 156. interpunctionem [illegible]

160 ὅττι θεὸς πέλε μοῦνος ἐτήτυμος· οὐρανόθεν γὰρ 34
οὗτος, ὃν εἰς χθόνα πέμψε θεὸς χραισμήτορα κόσμου,
πατρῴης σοφίης αὐτόσσυτον ὄμβρον ἰάλλει·
οὐ γὰρ μέτρα λόγοιο φέρει λόγος, ἀλλά οἱ αἰεὶ
μούνῳ πνεῦμα δίδωσιν ἀειλιβέος ῥόον ὀμφῆς·
165 ὑψιμέδων δ' ἑὸν υἷα θεὸς γενέτης ἀγαπάζει 35
καί οἱ πάντα φέρειν παλάμῃ πόρεν· ὃς δέ κεν εἴῃ 36
ἤθεσιν ἀπλανέεσσιν ἀκαμπέα πίστιν ἀέξων,
ζωὴν ὄψεται οὗτος ἔχων ὑψήνορα τιμήν,
σύγχρονον αἰῶνος παλιναυξέος· ὃς δέ κεν ἀνὴρ
170 παιδὶ θεοῦ ζώοντος ἀγηνορέων ἀπιθήσῃ,
— — — — — — — — — —
ἔρχεται ὑψίστοιο θεοῦ τιμωρὸς ὀργὴ
ἄφρονα μαστίζουσα.

ὁ θεὸς ἀληθής ἐστιν. 34. ὃν γὰρ ἀπέστειλεν ὁ θεός, τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ· οὐ γὰρ ἐκ μέτρου δίδωσι τὸ πνεῦμα. 35. ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν καὶ πάντα *ἔδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. 36. ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ *δὲ ἀπειθῶν τῷ υἱῷ (οὐκ ὄψεται ζωήν, ἀλλ') ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ' αὐτόν.

---

161. εἰς codd. et A. ἐς Secerius. cf. Ludwich Mus. Rhen. 35, 499. 162. ὄβρον M. 163. λογίοιο V Marcellus versum sic depravavit: οὐ γὰρ μέτρα λόγοιο φέρει θεός, ἀλλὰ καὶ υἱεί (!). 164. ἀεὶ λιβέος Pa. 165. cf. Tiedke I 25. 166. παλάμῃ] πάντῃ M πάντα μιν V. 168. Lehrs l. c. 171 versum non integrum putat; quod reieci Zeitschr. f. d. ö. G. 1878, 899. 169. de hoc versu cf. Tiedke I 6. Hilberg l. c. 129; Tiedke Herm. XIII 271. 170. ἀπιθήσει L lacunam subsequi vidit Koechly de paraphr. 8. 171. ὑψίστοι θυ L.

ΚΕΦ. Δ.

Καὶ ὁππότε κοίρανος ἔγνω, 1
ὅττι θεοπνεύστων βαρυκάρδιος ἀμφὶ λοετρῶν
δύςμαχος ἐσμὸς ἄκουσε βαρυζήλων Φαρισαίων,
Ἰησοῦς ὅτι φῶτας ἀλήμονας εἰς φάος ἕλκων
5 ὕδατι βαπτίζει καὶ πλείονας ἔσχε μαθητὰς
ἤπερ Ἰωάννης — καὶ ἐτήτυμος οὐ πέλε φήμη· 2
οὐ γὰρ ἄναξ βάπτιζεν ἐν ὕδασιν, ἀλλὰ μαθηταί —
κάλλιπεν ὑψιθέμεθλον Ἰουδαίων πέδον ἀνδρῶν 3
καὶ πάλιν εἰς πέδον ἦλθε φιλοστόργων Γαλιλαίων
10 φεύγων λύσσαν ἄπιστον ἀκηλήτων Φαρισαίων.
καί μιν ἔτι χρέος εἶλκε δι' εὐύδρου Σαμαρείης 4
γαίης μεσσατίης ὁμοτέρμονα πέζαν ὁδεύειν·
καὶ ποδὸς ἀμβροσίοιο μεσημβρινὸν ἴχνος ἐπείγων 5
εἰς πόλιν ἀρχαίην Σαμαρείτιδος ἵκετο γαίης,
15 Σιχὰρ ἐς αἰπύδμητον, ὅπῃ φυτοεργὸς Ἰακὼβ

---

1. Ὡς οὖν ἔγνω ὁ *κύριος ὅτι ἤκουσαν οἱ Φαρισαῖοι ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης. 2. καίτοιγε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ, 3. ἀφῆκεν τὴν Ἰουδαίαν καὶ ἀπῆλθεν πάλιν εἰς τὴν Γαλιλαίαν. 4. ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας. 5. ἔρχεται οὖν εἰς πόλιν τῆς Σαμαρείας λεγομένην *Σιχάρ, πλησίον τοῦ

---

2. βαθυκάρδιος Marcellus θρασυκάρδιος Koechly in marg. 5. ἔσκε L. 6. φωνή in marg. φήμη V. 7. μαθηταῖς LV.

ἀμπελόεν πέδον εἶχε καὶ υἱέι δῶκεν Ἰωσήφ,
πηγὴ ὅπῃ βαθύκολπος, ὅθεν ποτὲ θεῖος Ἰακὼβ 6
πήξας ὑγρὰ θέμεθλα πεδοσκαφέων κενεώνων
φρείατος ἰλυόεντος ἀνήγαγε νέρτερον ὕδωρ.
κεῖθι δὲ τηλεπόροιο πεπαυμένος ἀτραπιτοῖο
Χριστὸς ὁδοιπορίῃσι καμὼν ἀμπαύσατο μόχθου,
ἑζόμενος παρὰ πέζαν, ὅπῃ χθονίου διὰ κόλπου
ὑγρὸν ὕδωρ ναέταις ἀγχίπτολις ἔβλυε πηγή.
ἕκτη δὲ πτερόεσσα διέτρεχε δίψιος ὥρη·
ἔνθα γυνὴ Σαμαρεῖτις ἀειρομένην διὰ κόλπου 7
ἠθάδα κάλπιν ἔχουσα, μετήιε γείτονα πηγήν·
καί μιν ἄναξ ὑδάτων ἀπὸ κάλπιδος ᾔτεεν ὕδωρ·
δεῦρο, γύναι Σαμαρεῖτι, τεῆς ἐπιβήτορι πάτρης
δός μοι δίψαν ἔχοντι πιεῖν ξεινήιον ὕδωρ.
ἕζετο γὰρ τότε μοῦνος, ἐπεὶ μεσάτῃ παρὰ νύσσῃ 8
οὐρανὸν ἱππεύουσαν ἰδὼν ἐπιδόρπιον ὥρην
εἰς πόλιν ἀντικέλευθον ἀνήιεν ἑσμὸς ἑταίρων.
εἰρομένη δ' ἀγόρευε γυνὴ φιλοπευθέι μύθῳ· 9

χωρίου ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. 6. ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ. ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ. ὥρα ἦν ὡς ἕκτη· 7. ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ. λέγει αὐτῇ ὁ Ἰησοῦς· δός μοι πιεῖν. 8. οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσιν. 9. λέγει *οὖν αὐτῷ ἡ

16. εἶχεν L. 18. ῥήξας vulgo. corr. Marcellus. 20. τηλεσπόροιο V. 26. κάλπην V. 28. 29. om. MVMa, man. rec. in margine adscripti sunt P. 29. διψαλέοντι LP edd. διψαλεόντι Pa διψαλόεντι Passow. corr. Ludwich Mus. Rhen. 35, 499. 30. ἕζετο καὶ γὰρ Ma τότε om. MV
ἕζετο γὰρ τότε
ἕζετο καὶ γὰρ μοῦνος (suprascr. m_1) P ἕζετο καὶ γὰρ μοῦνος sed in marg. ἕζετο γὰρ τότε Pa. 32. ἀντικέλευθον L ἀγχικέλευθον cet. et edd. 33. ἀγόρευεν ἡ γυνὴ Pa.

πῶς παρὰ θηλυτέρης Σαμαρείτιδος ἴδμονι φωνῇ
35 ἐκ παλάμης ἀφύλακτος ἀήθεος ἤτεες ὕδωρ
πάτριον Ἑβραίων πεφυλαγμένον αἷμα κομίζων;
ποῖον ξυνὸν ἔην Σαμαρείτιδι καὶ σέο φύτλη,
ὄφρα πίῃς παρ' ἐμεῖο; καὶ οὐ σέο θεσμὸς ἐρύκει;
αἰδομένοις στομάτεσσιν Ἰουδαῖόν σε καλέσσω·
40 οὐ γὰρ Ἰουδαῖοι μιγάδες ξυνήονι θεσμῷ
εἰς βίον ἀλλήλοισιν ὁμίλεον ἢ Σαμαρεῖται.
καί οἱ Χριστὸς ἔειπεν ἀσημάντῳ τινὶ μύθῳ· 10
εἰ μάθες ὑψίστοιο θεοῦ χάριν, εἰ δόσιν ἔγνως,
καὶ τίς ἔην, ὃς ἔειπεν· ἐπιχθονίης ἀπὸ πηγῆς
45 δός μοι δίψαν ἔχοντι πιεῖν μινυώριον ὕδωρ·
αὐτὴ προφρονέως αἰώνιον ἤτεες αὐτὸν
ζωὸν ὕδωρ, καὶ τοῦτο σοφὸν ποτὸν εἶχεν ὀπάσσαι.
εἶπε δὲ μὴ νοέουσα γυνὴ φυσίζοον ὕδωρ. 11
ὦ ἄνα, θάμβος ἔχει με· σὺ γὰρ τροχοειδέι κύκλῳ

γυνὴ ἡ Σαμαρεῖτις· πῶς σὺ Ἰουδαῖος ὢν παρ' ἐμοῦ πεῖν αἰτεῖς γυναικὸς Σαμαρείτιδος οὔσης; *οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις. 10. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· εἰ ἤδεις τὴν δωρεὰν τοῦ θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι· δός μοι πεῖν, σὺ ἂν ἤτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. 11. λέγει αὐτῷ ἡ γυνή· κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ

38. ἐμαῖο V. εἰ vulgo; corr. Koechly in marg. 39. ἀδομένοις sive ᾀδομένοις edd. princ. corr. Sylburg. στομάτεσιν V. Koechly in marg. versus sic transposuit: 39, 37, 38. 40. ξυνήιον M. 41. εἰς L V ἐς cet. et edd. cf. Ludwich Mus. Rhen. 35, 499. ἀλλήλοισι Pa. 42. καὶ Χριστὸς οἱ V (X

50 οὐ κάδον ἑλκυστῆρα φέρεις, οὐ σχοῖνον αείρεις,
ὄφρα βυθῷ χαλάσειας, ὑποβρυχίων ἀπὸ κόλπων
χερσὶν ἀμοιβαίῃσιν ἄγων μετανάστιον ὕδωρ·
καὶ φρέαρ ἐστὶ βάθιστον· ἀπὸ χθονίοιο δὲ κόλπου
τοῦτο πόθεν ζείδωρον ἀρυόμενος ξένον ὕδωρ
55 αὐτὸς ἔχεις ποτὸν ἄλλο; μὴ ἀρσενόπαιδος Ἰακὼβ 12
μείζων ἡμετέροιο πέλεις ζαθέοιο τοκῆος,
ὃς φρέαρ ὤπασε τοῦτο γέρας Σαμαρείτιδι γαίῃ,
καὶ πίεν ἐξ αὐτοῖο πεδοτρεφὲς ἄρκιον ὕδωρ
αὐτὸς ὁμοῦ καὶ παῖδες ὀρεσσινόμων τε γενέθλη
60 τετραπόδων τε φάλαγγες; ἀνειρομένην δὲ γυναῖκα 13
Ἰησοῦς ἐδίδαξεν ἀπ' ἀχλύος εἰς φάος ἕλκων·
ὃς πίεται χθονίων λαγόνων μινυώριον ὕδωρ
πίδακος ἢ γλυκὺ νᾶμα χαμαιγενέος ποταμοῖο,
διψήσει παλίνορσος· ὅπερ δέ οἱ ἐγγυαλίξω, 14
65 οὔποτε διψήσειε πιὼν αἰώνιον ὕδωρ,
ἀλλά οἱ ἐν πραπίδεσσι μενεῖ ῥόος, ἔμφρονι παλμῷ

ἐστὶ βαθύ· πόθεν *οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν; 12. μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ *τοῦτο καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιεν καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα * ; 13. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν. 14. ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος *ὃ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ ὃ * δώσω αὐτῷ, γενήσεται ἐν

---

51. ὑπὸ βρυχίων PPa corr. Iuvenis ἀπὸ e corr. antea υπο L. 52. ἀμοιβαίοισιν PPa corr. Bogardus. 53. 54. sequuntur v. 68 Pa. 55 — 68. om. VMa (Ma lacuna 18 versuum) man. rec. in margine adscripti sunt P. ἀρσενόποδος L. 58. πεδοτροφὲς P παιδοτροφὸν Pa ὄρκιον L ὅρκιον PPa corr. Iuvenis. 60. ἀνεγρομένην vulgo, corr. Bordatus in marg. 63. μωγενέος Pa.

ἁλλόμενον νοεροῖο βυθοῦ θεοδινέι ῥιπῇ
πηγῆς ἐνδομύχοιο παλιμφυὲς ἔμπεδον ὕδωρ
ζωῆς ἀενάοιο καὶ οὐ χθονίου ποταμοῖο.
70 Ἰησοῦν δ' ἱκέτευε γυνὴ πειθήμονι φωνῇ· 15
δός μοι, κοίρανε, τοῦτο πιεῖν βιοτήσιον ὕδωρ,
πίδακος οὐδαίης ἀλλότριον, ὄφρα πιοῦσα
μήποτε διψήσω καὶ μηκέτι δεῦρο περήσω
ἐκ βυθίων λαγόνων ἀρύειν βεβιημένον ὕδωρ.
75 εἶπε, καὶ ἀγκυλόμητιν ἀμοιβαίῳ τινὶ μύθῳ 16
Ἰησοῦς πολύανδρον ἐπειρήτιζε γυναῖκα·
ἔρχεο καὶ κίκλησκε τεὸν πόσιν· ἐκ πόλιος δὲ
σπεῦδε ποσὶν ταχινοῖσι τὸ δεύτερον ἐνθάδε βαίνειν.
εἶπε, καὶ ἀγνώσσουσα, πολυσπερέων περὶ λέκτρων 17
80 ψευδομένη, Σαμαρεῖτις ἐτήτυμον ἴαχε φωνήν.
ἦ πόσιν οὐ μεθέπουσα πόθεν πόσιν εἰς σὲ καλέσσω;
οὐ γὰρ ἔχω φίλον ἄνδρα. θεὸς δ' ἤλεγξε γυναῖκα· 18
οἶδα, γύναι, μετὰ πέντε νόθον τεὸν ἕκτον ἀκοίτην·
πέντε γὰρ ἔλλαχες ἄνδρας ἀμοιβαδὸν ἄλλον ἐπ' ἄλλῳ,
85 καὶ νῦν ὃν μεθέπεις, οὐ γνήσιός ἐστιν ἀκοίτης·

αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. 15. λέγει πρὸς αὐτὸν ἡ γυνή· κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ μηδὲ διέρχωμαι ἐνθάδε ἀντλεῖν. 16. λέγει αὐτῇ Ἰησοῦς· ὕπαγε φώνησον τὸν ἄνδρα σου καὶ ἐλθὲ ἐνθάδε. 17. ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν· οὐκ ἔχω ἄνδρα. λέγει αὐτῇ ὁ Ἰησοῦς· καλῶς εἶπας ὅτι ἄνδρα οὐκ ἔχω· 18. πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστιν σου ἀνήρ. τοῦτο

τοῦτό μοι ἀτρεκέως μυθήσαο. θαμβαλέη δὲ 19
οὐτιδανὴ Σαμαρεῖτις ἀμείβετο θήλεϊ φωνῇ·
κοίρανε, γινώσκω σε θεηγόρον ἄνδρα προφήτην·
ἡμείων δ' ἀνιόντες ἐς οὔρεα ταῦτα τοκῆες 20
90 αὐχένα δοχμώσαντο πολυκνίσσῳ παρὰ πέτρῃ
καὶ θεὸν εὐαγέεσσιν ἐμειλίξαντο θυηλαῖς·
ὑμεῖς δ' ἄρμενον ἄλλον ὑπὸ κλέτας Ἱροσολύμων
χῶρον ἐμυθήσασθε μεμηλότα θέσπιδι βουλῇ,
ᾗχι θεῷ χρέος ἐστὶ θεοδμήτῳ παρὰ βωμῷ
95 μάρτυρον ἱκεσίης κυρτούμενον αὐχένα κάμπτειν
κύμβαχον ὀκλάζοντας. ἄναξ δ' ἠμείβετο μύθῳ· 21
πείθεό μοι, Σαμαρεῖτι γύναι, νημερτέι μύθῳ,
ὅττι νέου βιότοιο διάκτορος ἔρχεται ὥρη,
εὐσεβίης ὀχετηγός, ὅτ' οὐκέτι μύστιδι τέχνῃ
100 οὔρεος ὑμετέροιο θεοκλήτῳ παρὰ βωμῷ
οὐδὲ ταρυσκοπέλων ὑπὸ τέμπεσιν Ἱροσολύμων

---

*ἀληθῶς εἴρηκας. 19. λέγει αὐτῷ ἡ γυνή· κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. 20. οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου προσκυνεῖν δεῖ. 21. λέγει αὐτῇ ὁ Ἰησοῦς· πίστευέ μοι, γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε

θαμβαλέη
86. θαμβαλέης P. 87. om. hic LVMaPPa. sequitur 133 VMaPa (MaP lacuna unius vers.) sequitur cum v. 86, qui m. rec. scriptus est, v. 133 P. θήλεϊ φωνῇ 'rarius' Passow. θυιάδι Marcellus; cf. Ludwich Beitr. 61. 88. γίνωσκε Pa. 89. ἡμεων L ἡμέων V. 90. πολυκνίσσῳ Ma (ω) P Pa πολυκνίσῳ LV et Passow. περὶ V. 92. Ἱεροσολύμων L Ιεροσολύμων Pa. 93. ἑτοιμήσασθε (!) Marcellus. 95. κάμπτον Pa. 97. μοι L μου V μεν cet. et edd. μοι Lehrs l. c. 258 coniecerat. θυμῷ Marcellus. 98. ἔρχηται Pa ὥρα V. 100. ὑμετέροιο PPa ἡμετέροιο LV ὑμετέροιο e corr. antea ἡμ. Ma. 101. ἱεροσολύμων LVPa.

αἵματι ταυρείῳ κεραελκέα ῥέξετε λοιβὴν
ἱκέσιον κλίνοντες ἐρειδόμενον γόνυ πέτρῃ·
ὑμεῖς μὲν κραδίης σφαλερῆς ἑτεραλκέι θεσμῷ, 22
105 ὃν φρεσὶν οὐκ ἐδάητε, γεραίρετε μοῦνον ἀκουῇ
μιμηλὴν τελέοντες ἀληθέος εἰκόνα μύθου·
ἡμεῖς δ' εὐαγέεσσιν ἀνάπτομεν ὄργια βωμοῖς
μυστιπόλῳ, τόπερ ἴδμεν, ἀνευάζοντες ἰωῇ
καὶ θεὸν αὐτογένεθλον ἀείδομεν ἔμφρονι μύθῳ·
110 ἀλλὰ σοφαῖς τελετῇσι θυηπόλος ἔρχεται ὥρη, 23
καὶ νῦν ἄγχι βέβηκεν, ἀληθέες ὁππότε μύσται
ξυνὸν ὑποκλίνουσι λιτήσιον αὐχένα γαίῃ,
αὐχένα δοχμωθέντα καθελκομένοιο καρήνου,
πάντες ἀληθείῃ καὶ πνεύματι· μυστιπόλους γὰρ
115 τοίους ὑψιμέδων ἐθέλει θεός, οἵτινες αὐτῷ
ἀκροπαγῆ κάμπτουσι συνήορα γούνατα γαίῃ
πνεύματι θεσπεσίῳ καὶ ἀληθέι μάρτυρι φωνῇ
καὶ δαπέδῳ πρηνηδὸν ἐρειδομένοιο προσώπου·

ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί. 22. ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, (ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν)· 23. ἀλλὰ ἔρχεται ὥρα καὶ νῦν ἐστίν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσιν τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ. καὶ γὰρ ὁ πατὴρ τοιούτους

ζ

102. ῥεξετε Pa. 105. οὐκεδάητε V οὐκὲ δάητε P οὐ κὲδάητε Pa. 108. ἀνεινάζοντες Pa ἴσμεν vulgo; corr. Ludwich Mns. Rhen. 35, 499. ὑνθμῷ Marcellus. 110. μελετῇσι V

πνεῦμα θεὸς νημερτές, ὅθεν χρέος ἀνέρας ἕλκει 24
ἀτρεκίην καὶ πνεῦμα μιῇ κεράσαντας ἐρωῇ
ἀενάου κόσμοιο θεὸν γενετῆρα γεραίρειν.
εἶπε, καὶ ἀγνώσσουσα γυνὴ μαντῴδεϊ φωνῇ 25
Χριστῷ Χριστὸν ἔλεξεν, ἀοσσητῆρα δὲ κόσμου
ὀψὲ μολεῖν ἀγόρευε, τὸν ἐγγύθεν εἶχε μολόντα·
κοίρανε, θεσμοφόρων πατέρων ἐθάημεν ἀκουῇ,
Μεσσίας ὅτι θεῖος ἐλεύσεται, ὅντινα λαοὶ
Χριστὸν ἐφημίξαντο· καὶ ὁππότε κεῖνος ἱκάνει,
ἡμέας ἀγνώσσοντας ἐτήτυμα πάντα διδάξει.
εἶπε γυνή, καὶ Χριστὸς ἀμείβετο μάρτυρι μύθῳ 26
δάκτυλον αὐτοβόητον ἀναυδέι ῥινὶ πελάσσας·
Χριστὸς ὁ σοὶ λαλέων αὐτὸς πέλον· ἀγχιφανῆ δὲ
ὄμμασι παπταίνεις με, τὸν οὔασιν αἰὲν ἀκούεις·
Χριστὸς ἐγὼ γενόμην· οὐ δεύτερος ἄλλος ἱκάνει.
— — — — — — — — — —
— — — — — — — — — —

ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. 24. πνεῦμα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. 25. λέγει αὐτῷ ἡ γυνή· *οἴδαμεν ὅτι Μεσσίας ἔρχεται ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν *πάντα. 26. λέγει αὐτῇ ὁ Ἰησοῦς· ἐγώ εἰμι, ὁ λαλῶν σοι.

---

119. χρόνος vulgo; corr. Bordatus in marg., quod probat Koechly in marg. χθονὸς Marcellus. 122. ἀγνώσασα Pa. 123. ἔλεξε V. 124. μολοῦντα V. 126. Μεσίας V. 127. κακεῖνος ἱκάνῃ Pa ἱκάνει LV ἱκάνῃ cet. et edd. 128. ἀγνώσ^σοντας Pa. 130. πελάσας V. hunc versum post 150 inseri voluit Koechly in marg. versum sic transformavit Marcellus:

δάκτυλον αὐτοβόητον ἀναυδέα ῥίμφα πετάσσας.

131. πέλω vulgo. corr. Tiedke I 11 et Ludwich Mus. Rhen. 35, 511. de αὐτός cf. Tiedke l. c. et Hilberg l. c. 128. 133. post h. v. omnes codices L excepto exhibent v. 37 in Ma spatium

οὐδέ μιν εἴρετο Πέτρος, ἅτε θρασύς· οὐδέ τις αὐτὸν 27
135 τολμήσας ἐρέεινε· τί δίζεαι; ἢ τί μετ' αὐτῆς
φθέγγεαι; ὠκυτέρῳ δὲ διαστείχουσα πεδίλῳ, 28
κάλπιν ἐπιτρέψασα γυνὴ θεοδέγμονι πηγῇ,
εἰς πόλιν ἴχνος ἔκαμψε καὶ ἔννεπε πᾶσι πολίταις·
δεῦτε καὶ ἀθρήσητε θεοπρόπον ἄνδρα προφήτην, 29
140 ὅστις ἐμοὶ φάτο πάντα, τάπερ κάμον· ἦ ῥά νυ Δαβὶδ
οὗτος ἀριστογόνοιο βοώμενος υἱὸς ἱκάνει;
ἀγγελίης δ' ἀίοντες ὁμοζυγέες Σαμαρεῖται 30
συμφερτὴν ταχύγουνον ἐπεσσεύοντο πορείην
ἐκ πόλιος στείχοντες ἐς ἀγχιθέου στόμα πηγῆς,
145 εἰς θεὸν οἰστρηθέντες ἑνὶ φρενοθελγέι μύθῳ.
ἔνθα χρόνου μεσσηγύ, πρὶν ἄστεος ἔκτοθι βαίνειν 31

---

27. (καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμαζον ὅτι μετὰ γυναικὸς ἐλάλει·) οὐδεὶς μέντοι εἶπεν· τί ζητεῖς ἢ τί λαλεῖς μετ' αὐτῆς; 28. ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ καὶ ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς *πολίταις· 29. δεῦτε ἴδετε ἄνθρωπον ὃς εἶπέν μοι πάντα, ἃ ἐποίησα· μήτι οὗτός ἐστιν ὁ Χριστός; 30. ἐξῆλθον ἐκ τῆς πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν. 31. ἐν τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ λέγοντες· *ῥαββί,

---

duorum versuum est, in P etiam 86 man. rec. postea insertus est. lacunam complurium versuum indicavit Hermann cens. 993; quod probat Koechly de par. 8. 134. *εἴρετο* L *ἤρετο* linea subducta et in marg. *εἴρ* alt. man. P *ἤρετο* cet. *εἴρετο* edd., *ἤρετο* Passow. interpunctionem corr. Hermann cens. 993. 135. *δίζεαι* LV *δίζεται* ex *ζίζεται* Ma *δίζεται* PPa et edd. *δίζεαι* Koechly in marg. cf. Kinkel l. c. 17. 136. *φθέγγεαι* LMaP, quod probat Koechly in marg. *φθέγγεται* cet. et edd. *διαστίχουσα* L. 139. *ἀθροίσητε* V

στεινομένων νεφελῆδὸν ἐπήτριμα κύματα λαῶν,
Χριστὸν ἐκυκλώσαντο καὶ ἐφθέγξαντο μαθηταί·
ῥαββίν, δέχνυσο ταῦτα καὶ ἔσθιε. κινυμένης δὲ 32
150 χειρὸς ἀφωνήτοιο νοήμονι μάρτυρι σιγῇ
δαῖτα μινυνθαδίην ἀπεσείσατο ταῦτα βοήσας·
ἄλλην δαῖτα φέρω βιοτήσιον, ἣν ἐνὶ θυμῷ
ὑμεῖς οὐκ ἐδάητε. καὶ ἔννεπεν ἄλλος ἐπ' ἄλλῳ· 33
ἦ ῥά οἱ ἄλλος ὄπασσε φαγεῖν ἐπιδήμιος ἀνήρ;
155 φιλοπάτωρ δ' ἀγόρευεν ἄναξ ἑτερόφρονι μύθῳ· 34
εἶδαρ ἐμὸν πέλε μῦθος, ἐμὸν ποτὸν ἔργα τοκῆος·
εἶδαρ ἐμὸν πέλε μοῦνον, ὅπως ἄτρεπτον ἐέλδωρ
πατρὸς ἐμοῦ τελέοιμι καὶ ἔνθεον ἔργον ἀνύσσω·
ὑμεῖς οὐ τόδε πάντες ἑνὶ ξυνώσατε μύθῳ 35
160 ἴδμονες ὡράων, ὅτι λείπεται εἰςέτι μούνη
μηνῶν τετραέλικτος ἀελλήεσσα πορείη,
καὶ θέρος ἀγλαόκαρπον ἐλεύσεται; ἠνίδε, πάντες
εἰς πόλιν ἀντικέλευθον ἀείρατε κύκλον ὀπωπῆς,
πῶς πόλιες λευκῇσι περιφρίσσουσιν ἁλωαῖς
165 καὶ βροτέου χατέουσιν ἐυγλώσσοιο θερισμοῦ,

φάγε. 32. ὁ δὲ εἶπεν αὐτοῖς· ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε. 33. ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους· μή τις ἤνεγκεν αὐτῷ φαγεῖν; 34. λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. 35. οὐχ ὑμεῖς λέγετε ὅτι ἔτι τετράμηνός ἐστιν καὶ ὁ θερισμὸς ἔρχεται; ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας, ὅτι λευ-

---

149. δὲ om. Ma. 152. μύθῳ codd. corr. Nansius. 154. ὄπασσε L V ἄλλος primus Sylburg; antea ἄλλο. 155. υἱοπάτωρ Struve; quod reiecit Ludwich Beitr. 117. 157. εἰ δ' ἄρ V. 158. θελέοιμι V. 160. εἰς ἔτι V. 164. πῶς λευκαὶ πολιῇσι Marcellus. ἁλωαῖς L.

πῶς στάχυες θαλέθουσιν ἐχέφρονες· εἰ δέ τις ἀνὴρ 36
χείλεσιν, οὐ παλάμῃσιν ἀερτάζων λάλον ἅρπην
γείτονος ἀμήσειε θεουδέα λήια γαίης,
μισθὸν ἔχει, καὶ πατρὶ θεῷ ζώοντα φυλάσσων
170 εἰς χρόνον οὐ λήγοντα νοήμονα καρπὸν ἀγείρει,
ὅφρα κεν ὁ σπείρων καὶ ὁ θέσκελα λήια κείρων
χαίρῃ ὁμοῦ καὶ πιστὰ θαλύσια πατρὶ τελέσσῃ,
εὐσεβίης ἀροτῆρα καὶ ἀμητῆρα γεραίρων.
ἔνθεν ἔην ὅδε μῦθος ἐτήτυμος, οὕνεκεν ἀνὴρ 37
175 ἄλλος ἀροτρεύει σπόρον ὄμπνιον αὔλακι νείφων,
καὶ στάχυν ἀμήσει στεφανηφόρος ἄλλος ἀλωεύς·
ἄλλοι μὲν μογέεσκον ἀλωέες αὔλακι φωνῆς, 38
καρπὸν ἕως ἔσπειραν; ἀποστέλλω δὲ καμόντων
ὑμέας ἀκαμάτους ἀλλότριον εἰς κόπον ἀνδρῶν.
180 ἀμῆσαι στοιμάτεσσιν ἑτοιμοτάτων στίχα καρπῶν
λήιον οὐ σπείραντας ἢ ἀρδεύσαντας ἀλωήν.
πολλοὶ μὲν ναέται ταχυπειθέα λαὸν ἀλήτην 39

καί εἰσιν πρὸς θερισμὸν * . 36. καὶ ὁ θερίζων μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον, ἵνα * ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων. 37. ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ἀληθινός, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων καὶ ἄλλος θερίζων. 38. ἐγὼ ἀπέσταλκα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασιν, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. 39. ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν * — τῶν Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναι-

στεινομένων νεφεληδὸν ἐπήτριμα κύματα λαῶν,
Χριστὸν ἐκυκλώσαντο καὶ ἐφθέγξαντο μαθηταί·
ῥαββίν, δέχυυσο ταῦτα καὶ ἔσθιε. κινυμένης δὲ 32
150 χειρὸς ἀφωνήτοιο νοήμονι μάρτυρι σιγῇ
δαῖτα μινυνθαδίην ἀπεσείσατο ταῦτα βοήσας·
ἄλλην δαῖτα φέρω βιοτήσιον, ἣν ἐνὶ θυμῷ
ὑμεῖς οὐκ ἐδάητε. καὶ ἔνυεπεν ἄλλος ἐπ' ἄλλῳ· 33
ἦ ῥά οἱ ἄλλος ὄπασσε φαγεῖν ἐπιδήμιος ἀνήρ;
155 φιλοπάτωρ δ' ἀγόρευεν ἄναξ ἑτερόφρονι μύθῳ· 34
εἶδαρ ἐμὸν πέλε μῦθος, ἐμὸν ποτὸν ἔργα τοκῆος·
εἶδαρ ἐμὸν πέλε μοῦνον, ὅπως ἄτρεπτον ἐέλδωρ
πατρὸς ἐμοῦ τελέοιμι καὶ ἔνθεον ἔργον ἀνύσσω·
ὑμεῖς οὐ τόδε πάντες ἑνὶ ξυνώσατε μύθῳ 35
160 ἴδμονες ὡράων, ὅτι λείπεται εἰςέτι μούνη
μηνῶν τετραέλικτος ἀελλήεσσα πορείη,
καὶ θέρος ἀγλαόκαρπον ἐλεύσεται; ἠνίδε, πάντες
εἰς πόλιν ἀντικέλευθον ἀείρατε κύκλον ὀπωπῆς,
πῶς πόλιες λευκῇσι περιφρίσσουσιν ἁλωαῖς
165 καὶ βροτέου χατέουσιν ἐυγλώσσοιο θερισμοῦ,

φάγε. 32. ὁ δὲ εἶπεν αὐτοῖς· ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε. 33. ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους· μή τις ἤνεγκεν αὐτῷ φαγεῖν; 34. λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. 35. οὐχ ὑμεῖς λέγετε ὅτι ἔτι τετράμηνός ἐστιν καὶ ὁ θερισμὸς ἔρχεται; ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας, ὅτι λευ-

---

149. δὲ om. Ma. 152. μύθῳ codd. corr. Nansius. 154. ὤπασσε L V ἄλλος primus Sylburg; antea ἄλλο. 155. υἱοπάτωρ Struve; quod reiecit Ludwich Beitr. 117. 157. εἰ δ' ἄρ V. 158. θελέοιμι V. 160. εἰς ἔτι V. 164. πῶς λευκαὶ πολιῇσι Marcellus. ἁλωιαῖς L.

πῶς· στάχυες θαλέθουσιν ἐχέφρονες· εἰ δέ τις ἀνὴρ 36
χείλεσιν, οὐ παλάμῃσιν ἀερτάζων λάλον ἅρπην
γείτονος ἀμήσειε θεουδέα λήια γαίης,
μισθὸν ἔχει, καὶ πατρὶ θεῷ ζώοντα φυλάσσων
170 εἰς χρόνον οὐ λήγοντα νοήμονα καρπὸν ἀγείρει,
ὅφρα κεν ὁ σπείρων καὶ ὁ θέσκελα λήια κείρων
χαίρῃ ὁμοῦ καὶ πιστὰ θαλύσια πατρὶ τελέσσῃ,
εὐσεβίης ἀροτῆρα καὶ ἀμητῆρα γεραίρων.
ἔνθεν ἔην ὅδε μῦθος ἐτήτυμος, οὕνεκεν ἀνὴρ 37
175 ἄλλος ἀροτρεύει σπόρον ὄμπνιον αὔλακι νείφων,
καὶ στάχυν ἀμήσει στεφανηφόρος ἄλλος ἁλωεύς·
ἄλλοι μὲν μογέεσκον ἁλωέες αὔλακι φωνῆς, 38
καρπὸν ἕως ἔσπειραν; ἀποστέλλω δὲ καμόντων
ὑμέας ἀκαμάτους ἀλλότριον εἰς κόπον ἀνδρῶν.
180 ἀμῆσαι στοιμάτεσσιν ἑτοιμοτάτων στίχα καρπῶν
λήιον οὐ σπείραντας ἢ ἀρδεύσαντας ἁλωήν.
πολλοὶ μὲν ναέται ταχυπειθέα λαὸν ἀλήτην 39

καί εἰσιν πρὸς θερισμὸν * . 36. καὶ ὁ θερίζων μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον, ἵνα * ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων. 37. ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ἀληθινός, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων καὶ ἄλλος θερίζων. 38. ἐγὼ ἀπέσταλκα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασιν, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. 39. ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν * – τῶν Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναι-

---

166. θαλέθουσιν L τελέθουσιν VMa θαλέθουσιν PPa. 171. θέσκελα λήϊα L λήια θέσκελα cet. et edd. 172. τελέσσω LVPPa τελέσθω Ma et edd. ante Iuvenem. corr. Heinsius. 176. ἀλώει L ἀμώσειε V δρεπανηφόρος Marcellus. 179. κόπον LV πόνον cet. et edd. 181. ἁλωιήν L.

πίστιος ἀρραγέεσσιν ἐπυργώσαντο θεμέθλοις,
μαρτυρίην ἀίοντες ἐγερσινόοιο γυναικὸς
185 φθεγγομένης, ὅτι πάντα, τάπερ κάμον, εἶπε προφήτης.
ἀλλ' ὅτε οἱ σχεδὸν ἦλθον ὁμοφραδέες Σαμαρεῖται, 40
Χριστὸν ἐγουνάζοντο φιλοστήργῳ τινὶ μύθῳ
αὖθι μένειν· καὶ παῦσεν ἄναξ παρὰ γείτονι πηγῇ
καὶ ταχὺς εἰς πόλιν ἦλθεν ὁμόστολον οἶμον ὁδεύων.
190 καὶ θεὸς αὐτόθι μίμνεν, ἕως δρόμος ἄλλος ἐπ' ἄλλῳ
ὀξείῃ στροφάλιγγι παρέστιχε δίζυγος ἠοῦς.
καὶ μετὰ διπλόον ἦμαρ ἄναξ σπεύδοντι πεδίλῳ 43
οὔασι πειθομένοισι πεπηγότα μῦθον ἐάσας
κεῖθεν ἔβη παλίνορσος ἀναινομένων ναετήρων
195 καὶ πάλιν εἰς πέδον ἦλθε φιλοχρίστων Γαλιλαίων.
μούνην δ' οὐκ ἐπάτησεν ἑὴν ζηλήμονα πάτρην· 44
καὶ γὰρ ὁμογνήτων δεδαημένος ἤθεα φωτῶν
μάρτυρα μῦθον ἔειπεν ἐτήτυμον, ὅττι προφήτης
οὐ δύναται περίπυστον ἔχειν ἐνὶ πατρίδι τιμήν.

κὸς μαρτυρούσης ὅτι εἶπέν μοι πάντα ἃ ἐποίησα. 40. ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς. καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας, (41. καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ, 42. τῇ τε γυναικὶ ἔλεγον ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου.) 43. μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν *καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν. 44. αὐτὸς γὰρ Ἰησοῦς ἐμαρτύρησεν ὅτι

---

188. παῦσεν LV? (sive παῦσιν?) πᾶσιν MaPPa et edd. corr. Iuvenis. Hermann cens. 994 ἄϊσεν coniecit 'nisi quid excidit'. lacunam indicavit Koechly in marg. 189. πτόλιν MaP corr. Passow. 192. ἄναξ om. Pa. 193. εάσσας L. 195. καὶ om. Pa.

200 ἀλλ' ὅτε δὴ Γαλιλαῖον ἐς ἕδρανον ἦλθεν Ἰησοῦς, 45
δὴ τότε μιν προφανέντα παλιννόστοισι κελεύθοις
ἄσμενος ἐσμὸς ἔδεκτο θεοστόργων Γαλιλαίων.
πάντα, τάπερ ποίησεν ἐν ἕρκεσιν Ἱροσολύμων,
ὄμμασιν ἀθρήσας, ἱερῆς ὅτε κῶμον ἑορτῆς
205 μητέρες εὐσεβίης θιασώδεες ἤγαγον ὧραι·
καὶ γὰρ ἐς ἱερὸν ἦμαρ ἐπεστιχόωντο καὶ αὐτοί.
Ἰησοῦς μὲν ἵκανε καὶ ᾤκεεν αὐτόθι μίμνων, 46
ἦχι πέδον Καναναῖον, ὅπῃ πάρος εἰς χύσιν οἴνου
ξανθὸν ὕδωρ ποίησε φύσιν χιονωπὸν ἀμείψας.
210 ἦν δέ τις ἰθύνων στρατιὴν βασιλήιος ἀνήρ,
οὗ πάις ἀγχιάλοιο Καφαρναοὺμ ἐνὶ δήμῳ
κέκλιτο νωθρὰ φέρων πεπεδημένα γούνατα νούσῳ·
καὶ γενέτης φιλότεκνος ἴσῳ μαστίζετο πυρσῷ,
παιδὸς ἱμασσομένοιο τάχα πλέον. οὗτος ἀκούσας 47

προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει. 45. *ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν. 46. ἦλθεν οὖν *ὁ Ἰησοῦς πάλιν εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησεν τὸ ὕδωρ οἶνον. ἦν δέ τις βασιλικός, οὗ ὁ υἱὸς ἠσθένει, ἐν Καφαρναούμ· 47. οὗτος ἀκούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν, ἀπῆλθεν πρὸς αὐτόν, καὶ ἠρώτα *αὐτὸν ἵνα καταβῇ καὶ ἰάση-

---

201. παλινόστοισι Pa. 203. Ἱροσολύμων ex Ἱερ. corr. L ἱεροσολύμων Pa. 204. ἀθροίσας V ατε L ὅ≦ε Ma. 206. hunc vers. sequitur in medio folio περὶ τοῦ βασιλικοῦ V. 207. ᾤκεσεν V. 208. φύσιν L. 209. χιονωτὸν edd. corr. Passow. 210. in marg. sin. περὶ τοῦ βασιλικοῦ P. 211. πάϊς LMaP παῖς cet. et edd. cf. Hermann cens. 994. περὶ τοῦ βασιλικοῦ in marg. sin. Pa. 213. interpunctionem correxit Hermann cens. 994. 214. om. sed in marg. adscr. est man. rec. V. — lacunam indicavit Koechly de paraphr. 8.

— — — — — — — — — —

214ª νόστιμος οὖδας ἔδυνε φιληρέτμων Γαλιλαίων,
215 ἔδραμεν εἰς Κανναῖον ἐδέθλιον· ἀγχιφανὴς δὲ
Ἰησοῦν ἐρέεινεν, ὅπως νέον υἷα σαώσῃ
ἄστεος ἀγχιπόροιο κατήλυδα πέζαν ὁδεύων.
καί μιν ἄναξ ἐνένιπεν ἑῷ νεμεσήμονι μύθῳ· 48
εἰ μὴ ἐμῆς ἐείδητε πολύτροπα θαύματα φωνῆς,
220 οὔποτέ μοι πείθεσθε. καὶ αἰθομένου πυρετοῖο 49
δάκρυσι θερμοτέροισι διάβροχος ἴαχεν ἀνήρ·
σπεῦσον, ἄναξ, κατάβηθι πέδον Κανναῖον ἐάσας,
πρὶν θανέειν ἐμὸν υἷα τεῆς ἐπιδευέα φωνῆς.
καί μιν ἄναξ θάρσυνεν ἑῷ ζωαρκέι μύθῳ· 50
225 ἔρχεο καὶ ζώοντα καὶ ἀρτεμέοντα κιχήσεις
τηλύγετον σέο παῖδα· παρ' ὑμετέρῃ δὲ τραπέζῃ
ἄσμενος εἰλαπίναζε σὺν υἱέι δαιτυμονῆι.
εἶπεν ἄναξ, καὶ κραιπνὸς ἀνὴρ ἐπεπείθετο μύθῳ,
Ἰησοῦς ὃν ἔειπε, καὶ ἔστιχεν ἐλπίδι πειθοῦς·
230 καί οἱ τηλεπόροιο καταστείχοντι κελεύθου 51

ται αὐτοῦ τὸν υἱόν (ἤμελλεν γὰρ ἀποθνήσκειν). 48. εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν· ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ *πιστεύετε. 49. λέγει πρὸς αὐτὸν ὁ βασιλικός· *κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου. 50. λέγει αὐτῷ ὁ Ἰησοῦς· πορεύου· ὁ υἱός σου ζῇ. *καὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ὃν εἶπεν * ὁ Ἰησοῦς, καὶ ἐπορεύετο. 51. *καὶ αὐτοῦ καταβαίνοντος οἱ δοῦλοι ὑπήντησαν αὐτῷ καὶ ἤγγειλαν

214ª. spatium unius vers. Ma P. 216. ἐρέεινε L. 217. ὁδεύειν Marcellus. 219. εἰ μὴ ἐμῆς L εἰ μὴ ἐμῆς ἐείδητε Pa. 220. πείθεσθε P corr. Iuvenis. Marcellus αἰθόμενον κραδίῃ πῦρ (sic). 229. πειθώ Marcellus. 230. καταστίχοντι L et primae edd. corr. Iuvenis.

ἥντεον αὐχήεντες ὀπάονες· οὐδὲ μὲν ἀνὴρ
δμῶας ἑοὺς ἐρέεινε γεγηθότας· ἐκ δὲ προςώπου
υἱὸν ἑὸν ζώοντα σοφῇ γίνωσκε σιωπῇ.
καί οἱ πάντες ἔλεξαν ὁμήλυδες ἡδέι μύθῳ·
235 ζώει σός, φιλότεκνε, ποδήνεμος υἱὸς ὀδίτης,
νῦν πλέον ἢ τὸ πάροιθε σαώτερος. αὐτὰρ ὁ χαίρων 52
δμῶας ἑοὺς ἐρέεινεν ἀλεξικάκου χάριν ὥρης,
τῇ ἔνι φαιδροτέρην βιοτήσιον ἔσχε γαλήνην.
καὶ μίαν εἰν ἑνὶ πάντες ὀπάονες ἴαχον αὐδήν·
240 υἱέα σὸν λίπε νοῦσος, ὅτε χθιζῇ παρὰ νύσσῃ
ἑβδομάτῃ στείχουσα βιοσσόος ἔτρεχεν ὥρη.
ἔγνω δ' αὐτοδίδακτος ἀνὴρ ὀδυνήφατον ὥρην, 53
τῇ ἔνι θέσκελος εἶπεν ἄναξ ζωαρκέι φωνῇ·
ἔρχεο σὸν ποτὶ δῶμα, τεὸς πάις ἐστὶν ἀπήμων.
245 καὶ καθαραῖς πραπίδεσσιν ἀκαμπέα δέξατο πειθὼ
εὐσεβίης ὅλον οἶκον ἀμεμφέος εἰς φάος ἕλκων·
αὐτὸς ὁμοῦ καὶ πάντες, ὅσους τρέφε, μάρτυρι μύθῳ

λέγοντες ὅτι ὁ παῖς αὐτοῦ ζῇ. 52. ἐπύθετο οὖν τὴν ὥραν παρ' αὐτῶν, ἐν ᾗ κομψότερον ἔσχεν· *καὶ εἶπον αὐτῷ ὅτι ἐχθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός. 53. ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐκείνῃ τῇ ὥρᾳ ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· ὁ υἱός

---

233. γινώσκεσθε Pa γίγνωσκε Ma P. corr. Bogardus. 235—254. om. Ma (lacuna XII versuum) V; in textu om. sed in marg. adscripti sunt P. 236. πάροιθεν voluit librarius ὃ L. 241. στίχουσα L et edd. primae. corr. Bogardus. 243. θέσκελος L coniectura Heden. Marcellus. θέσκελον P Pa et edd. 246. omnes codd. (L P Pa) post 248 exhibent, integrum nisi οἶκον L; εὐσεβίης (supra mann tertia [illegible]

πίστιος ἀκλινέεσσιν ὑπεζεύγνυντο λεπάδνοις.
τοῦτο δὲ δεύτερον ἄλλο πάλιν ζωαρκέι φωνῇ, 54
ἦχι πέδον Κανναῖον ἐν εὐπύργῳ Γαλιλαίῃ,
Ἰησοῦς κάμε θάμβος Ἰουδαίηθεν ὁδεύσας
εἰς πόλιν ἀγλαόπαιδα τανυπλοκάμων Γαλιλαίων
πρεσβύτερον μετὰ θαῦμα φιλακρήτων ὑμεναίων
ὕδατος οἰνωθέντος ἐρευθιόωντι ῥεέθρῳ.

ΚΕΦ. Ε.

Ἰησοῦς δ' ἀνέβαινεν, ὅπῃ δόμος αἰθέρι γείτων 1
χιονέην ἀμάρυσσε λίθων ἑτερόχροον αἴγλην.
ἦν δέ τις εὐποίητος ἐν εὐύδρῳ προβατικῇ 2
πέντε παντυπλεύρῃσιν ὑπ' αἰθούσῃσι μελάθρου
δαιδαλέων ζωσθεῖσα λίθων ὑψάντυγι μίτρῃ
εὐρυτενὴς ἀσάμινθος, ὅπῃ κεκακωμένος ἀνὴρ 4

σου ζῇ, καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη. 54. τοῦτο *δὲ πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

1. (Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ) ἀνέβη Ἰησοῦς εἰς Ἱεροσόλυμα. 2. *ἦν δὲ ἐν τοῖς Ἱεροσολύμοις *ἐν τῇ προβατικῇ κολυμβήθρᾳ (ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδά,) πέντε στοὰς ἔχουσα· 3. ἐν ταύταις κατέκειτο πλῆθος τῶν ἀσθενούντων (τυφλῶν, χωλῶν, ξηρῶν)· *ὁ οὖν πρῶτος ἐμβὰς

248. λεπάδνας P (unde priores edd. λεπάδναις) corr. Iuvenis. 249 δὲ om. Pa.

2. κιονέην vulgo. corr. Passow. κιονέων Marcellus. 3. προβατείῃ Hermann cens. 994. 4. τανυπλεύρῃσι L τανυπλεύρῃσιν V τανυπλεύροισιν cet. idem edd. ὑπαιθούσῃσι P (unde A) ἐπ' Marcellus. 5. δαιδαλέων L δαιδαλέως VMa δαιδαλεῶν P Pa ὑψάμπυκι Wernicke in marg. ὑψαύχενι Ludwich Beitr. 121. 6. a medio versu lacunam complurium versuum incipere putavit Koechly de par. 8; κεκακωμένος LVMa κεκαυ-

ἅλμασιν αὐτομάτοισιν ἰδὼν ὀρχούμενον ὕδωρ,
ὁππότε κυμαίνοντι δέμας φαίδρυνε λοετρῷ,
θερμὰ πεπαινομένης ἀπεσείσατο λύματα νούσου
10 φέρτερον ἰητῆρος ἰδὼν ὀδυνήφατον ὕδωρ.
ἦν δέ τις ἐμπεδόμοχθος ἀνὴρ παρὰ γείτονι πηγῇ 5
τρεῖς δεκάδας δασπλῆτι παριππεύσας ἐνὶ νούσῳ
καὶ πάλιν ὄγδοα κύκλα κυλινδομένων ἐνιαυτῶν.
τοῦτον ἰδὼν ἀτίνακτον ἐθήμονι κείμενον εὐνῇ 6
15 Ἰησοῦς ἐνόησεν, ὅτι χρονίων ἐπὶ λέκτρων
εἶχε δυςαλθήτῳ πεπεδημένα γούνατα νούσῳ·
καί μιν ἄναξ ἐρέεινε χέων οἰκτίρμονα φωνήν·
ἀσκηθὴς ἐθέλεις πάλιν ἔμμεναι; αὐτὰρ ὁ κάμνων 7
ἐκ φρενὸς ἀδρανέος βεβιημένον ἆσθμα τιταίνων
20 λεπταλέῃ μόγις εἶπεν ἀνὴρ βραδυπευθέι φωνῇ·

μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς ἐγίνετο· 5. ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ * . 6. τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ· θέλεις ὑγιὴς γενέσθαι; 7. ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει.

μένος PPa et edd. κεκαμωμένος Sylburg in notis e coniectura. βεβαρημένος Rigler l. c. IV 12. 7. ὀρχόμενον V. 9. λύματα LVMa λῦματα PPa. e coniectura corr. Passow. 10. ἔχων Marcellus. h. v. sequitur περὶ τοῦ λ̄ καὶ ῆ ἔτη ἔχοντος ἐν τῇ ἀσθενείᾳ V. 11. in marg. d. περὶ τοῦ λ̄ καὶ ὀκτὼ ἔτη ἔχοντος ἐν ἀσθενείᾳ P. 12. δεκάτας V τινὶ 'quamquam ἐνὶ ferendum sit' H.

κοίρανε, νουσοκόμοιο φιλοστόργοιο χατίζω·
οὐ γὰρ ἔχω τινὰ φῶτα διάκτορον, ὄφρα κε πηγῆς
θυιάδος αὐτοέλικτον ἰδὼν κυρτούμενον ὕδωρ
εἰς ἱερὴν ἀσάμινθον ἐλαφρίζων με χαλάσσῃ·
25 ὄφρα μὲν ἀστήρικτον ἐμὸν πόδα νωθρὸν ἐρέσσω,
τόφρα δὲ μᾶλλον ἐμεῖο νεώτερος ὀξέι παλμῷ
προφθάμενος βροτὸς ἄλλος ἐλαφρότερος καταβαίνει
ἀφρὸν ἀερσιπότητον ἐρευγομένης ἀσαμίνθου.
καί μιν ἄναξ θάρσυνεν ἑῇ ζωαρκέι φωνῇ· 8
30 ἔγρεο, λέκτρον ἄειρε καὶ ἔρχεο κοῦφος ὁδίτης.
νουσαλέος δ' ἀνέπαλτο καὶ εἰς πέδον ἴχνος ἐρείσας 9
ἵστατο καὶ κλιντῆρα λαβὼν ἐπικείμενον ὤμῳ
ἔστιχε πανδόκον οἶκον ἀήθεα γούνατα πάλλων,
ἀκαμάτῳ βαρύφορτον ἐπωμίδι λέκτρον ἀείρων.
35 καὶ τότε σάββατον ἦεν· ἐν εὐλάιγγι δὲ νηῷ 10
ἀνέρα παπταίνοντες, ὃν ἀρχαίης ἀπὸ νούσου
λυσιπόνῳ ταχυεργὸς ἄναξ ἰήσατο μύθῳ,
εἶρεον, ὅστις ἄνωγεν ἑῇ σημάντορι φωνῇ
λέκτρον ἀερτάζοντα παλινδίνητον ὁδεύειν·

---

8. λέγει αὐτῷ ὁ Ἰησοῦς· ἔγειρε ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει. 9. καὶ ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος καὶ ἦρεν τὸν κράβαττον αὐτοῦ καὶ περιεπάτει *εἰς τὸν οἶκον. ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. [10. ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· σάββατόν ἐστιν, καὶ οὐκ ἔξεστίν σοι ἆραι τὸν

---

22. κεν P Pa; corr. Iuvenis. 23. θυιάδος L θυάδος cet. et edd.; corr. Passow. 29. ἐθάρσυνε ἑῇ Pa ὀῇ V. 31. νουσαλέοις L. 32. ἵσταντο L. 33. πάνδοχον L. 34. ἀκαμάτω L V καὶ καμάτῳ cet. et edd. βαρὺ φόρτον Pa ἐπώμιδι L ἐπ' ὠμίδι V ἐπωμίδι Ma ἐπωμίδι sive ἐπωμίδα P ἐπωμίδα Pa; idem edd. coniectura sanavit hunc locum Hermann cens. 994. cf. Kinkel l. c. 21. ἀκαμάτως Marcellus. 38. σημάντορι Ma.

40 καὶ φθονεροὺς ἀπάμειπτο σοφῷ θεοπειθέι θυμῷ· 11
ὅςτις ἀπὸ κλιντῆρος ἀνεζώγρησε πεσόντα,
οὗτος ἐμοὶ κατέλεξεν ἀερτάζειν καὶ ὁδεύειν.
καί μιν Ἰουδαίων πάλιν εἴρετο λαὸς ἀγήνωρ· 12
τίς πέλεν, ὅς σε κέλευσεν ἀδειμάντῳ τινὶ φωνῇ·
45 ἔρχεο σὸν κλιντῆρα λαβὼν πεφορημένον ὤμῳ;
οὐ μὲν ἀνὴρ δεδάηκεν ἑῆς ἰήτορα νούσου. 13
καί μιν ἰδὼν στείχοντα λιθώδεος ἔνδοθι νηοῦ 14
ὕβριν ἀναμνήσας προτέρην, ποινήτορι νούσῳ
Χριστὸς ἀναστέλλων ἐπετέλλετο μάρτυρι μύθῳ·
50 ἠνίδε, νοῦσον ἔχων σόος ἔπλεο· μηκέτι ῥέξῃς
ἀμπλακίην ἑτέρην, μὴ κύντερον ἄλλο νοσήσῃς.
καὶ θρασὺς Ἑβραίοισι παλίνδρομος ἄγγελος ἔστη 15
μῦθον ἀναινομένῳ βοόων ζηλήμονι λαῷ,
ὅττι μιν αὐτοκέλευστος ἀπήμονα θέσπιδι φωνῇ

κράβαττον.] 11. *καὶ ἀπεκρίθη αὐτοῖς· ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, *ἆραι τὸν κράβαττον καὶ περιπατεῖν. 12. ἠρώτησαν *οὖν αὐτόν· τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι· ἆρον *τὸν κράββατόν σου καὶ περιπάτει; 13. ὁ δὲ * οὐκ ᾔδει τίς ἐστιν· (ὁ γὰρ Ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ.) 14. μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ· ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοί τι γένηται. 15. *καὶ ἀπῆλθεν ὁ ἄνθρωπος καὶ *ἀνήγγειλεν τοῖς Ἰουδαίοις ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας

---

40. φθονεροῖς vulgo; ipse correxi. θυμῶι LV μύθῳ cet. et edd. 42. αὐτὸς vulgo; corr. Koechly de par. 9; καὶ om. Pa.

55 Ἰησοῦς ἐτέλεσσε καὶ ὀψικέλευθον ὁδίτην
νουσοκόμου κλιντῆρος ἀήθεα θῆκε φορῆα·
οὗ χάριν Ἑβραῖοι μανιώδεες ἄφρονι θυμῷ 16
Ἰησοῦν ἐδίωκον, ὅτι ζαθέῳ παρὰ νηῷ,
ὁππότε σάββατον ἦεν, ἐπείγετο ταῦτα τελέσσαι
60 μοῦνος ἐὼν ἀφύλακτος, ὅτε βροτέων ἀπὸ μόχθων
πάντες ἀεργηλοῖσιν ἐπέτρεπον ἔργον ἀέλλαις
— — — — — — — — ἀκάνθαις
Ἰησοῦς δ' ἀγόρευε χέων ὑψαύχενα φωνήν· 17
εἰσέτι νῦν γενέτης ἐργάζεται ἠθάδι θεσμῷ,
ἤθεσιν ἀντιτύποις καὶ ἐγὼ πάις ἔργον ὑφαίνω.
65 οὗ χάριν Ἑβραῖοι δολίῳ μάστευον ὀλέθρῳ 18
Χριστὸν ἀποκτείνειν, ὅτι μὴ μόνον ἤθελε λύειν
ἔννομον ἀπρήκτοιο σέβας πεφυλαγμένον ἠοῦς,
ἀλλ' ὅτι μυστιπόλοιο μετὰ δρόμον ἠριγενείης
καὶ θεὸν αὐτογένεθλον ἑὸν κίκλησκε τοκῆα
70 ἰσάζων ἑὸν εὖχος ἐπουρανίῳ βασιλῆι.

αὐτὸν ὑγιῆ. 16. καὶ διὰ τοῦτο ἐδίωκον οἱ Ἰουδαῖοι τὸν Ἰησοῦν, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ. 17. ὁ δὲ *Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς· ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. 18. διὰ τοῦτο μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυεν τὸ σάββατον, *ἀλλ' ὅτι πατέρα

---

55. ἐκέλευσε vulgo, corr. Nansius. cf. Hermann cens. 994, qui Nansii coniecturam probavit; idem Marcellus. 57. de hoc versu cf. Hilberg l. c. 173. 61. ἀκάνθαις vulgo, ἀέλλαις Tiedke I 55; emendationem, quam dedi, mecum Tiedke per literas communicavit. Ludwich Mus. Rhen. XXXV 500 ἀέλλαις improbat propter ἀεγηλοῖσιν. Marcellus ἀνάγκαις. 63. κόσμῳ vulgo. corr. Marcellus. 64. ἀγχιτύποις Heinsius (Marcellus). 65. cf. Hilberg l. c. 173. 66. ἀποκτείνειν L V ἀποκτενέειν cet. et edd. ἀποκτανέειν Nansius, quod probavit Tiedke Herm. XIII 272. 67. σέβας e corr. antea σέλας Ma σέλας cet. et edd. σέβας e coni. Marcellus.

Ἰησοῦς δ' ἀγόρευεν· ἀμὴν ἐπιμάρτυρον ἔστω· 19
οὐδὲν ἑῇ ἰότητι δυνήσεται υἱὸς ἀνύσσαι,
εἰ μὴ ἐςαθρήσειεν ἑὸν τελέοντα τοκῆα·
ἔργα γὰρ εἰν ἑνὶ πάντα πατὴρ ἐμὸς ὁππόσα ῥέζει,
75 ταῦτα θεὸν γενέτην μιμούμενος υἱὸς ἀνύσσει·
υἱέα γὰρ φιλέει γενέτης ἑόν· ὅσσα δὲ τεύχει, 20
παιδὶ φίλῳ δείκνυσι καὶ εἰςέτι μείζονα δείξει,
ὄφρα κε θαμβήσητε τελειοτέρων χάριν ἔργων·
ὥςπερ γὰρ γενέτης νέκυας μετὰ πότμον ἐγείρει 21
80 ζωγρήσας παλίνορσον ἀκινήτων δέμας ἀνδρῶν,
οὕτως, οὓς ἐθέλει, καὶ ὁμοίιος υἱὸς ἐγείρει
ζωγρήσας φθιμένων παλινάγρετα σώματα φωτῶν·
οὔτινα γὰρ κρίνειε πατὴρ ἐμός· ἀνδρομέην δὲ 22
ὄψιμον υἱέι δῶκεν ὅλην κρίσιν, ὄφρα κε πάντες 23
85 υἱέα τιμήσωσιν ἰσόζυγον ᾧ γενετῆρι,
οἷά τε κυδαίνουσι καὶ ὑψιμέδοντα τοκῆα·

ἴδιον ἔλεγε τὸν θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ. 19. *ἔλεγεν οὖν ὁ Ἰησοῦς αὐτοῖς· * ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν, ἂν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα· ἃ γὰρ ἂν *ὁ πατὴρ ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ποιεῖ ὁμοίως. 20. ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱὸν καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε. 21. ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. 22. οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκεν τῷ υἱῷ, 23. ἵνα πάντες τιμῶσι τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα. ὁ μὴ τιμῶν τὸν υἱὸν οὐ τιμᾷ τὸν πατέρα (τὸν πέμψαντα

εἰ δέ τις ἀλλοπρόςαλλον ἔχει νόον οὐδὲ τοκῆος
κυδαίνει λόγον υἷα, καὶ οὐ γενετῆρα γεραίρει.
μάρτυρον ἐμπεδόμυθον ἀμήν, ἀμὴν πάλιν ἔστω 24
90 ὅςτις ἀνὴρ δέξοιτο νόου πειθήμονι θεσμῷ
μύθους ἡμετέρους καὶ ἐμῷ πείθοιτο τοκῆι,
εἰς κρίσιν ἐσσομένην οὐκ ἔρχεται, ἀλλ' ἐπὶ κείνην
ζωὴν ἀμβροσίην, τὴν οὐ χρόνος οἶδεν ὀλέσσαι,
ἵξεται ἐκ θανάτοιο μετάτροπος· ἀπροϊδὴς γὰρ 25
95 μαῖα παλιγγενέων μερόπων νεκυοσσόος ὥρη
ἵξεται ὀψιτέλεστος, ἀναυδέες ὁππότε νεκροὶ
αὖτις ἀναζήσουσιν ἀνοστήτων ἀπὸ κόλπων,
πάντες ἀλεξιμόροιο μιῆς ἀίοντες ἰωῆς
παιδὸς τηλυγέτοιο φερεζώοιο τοκῆος·
100 ὥςπερ γὰρ γενέτης μεθέπει παμμήτορα κόσμου 26
ζωήν, ἧς ἄπο πᾶσι βιοσσόον ἆσθμα τιταίνει,
οὕτω παμμεδέοντι καὶ υἱέι δῶκε κομίζειν

αὐτόν)· 24. ἀμήν, ἀμὴν λέγω ὑμῖν, * ὁ *τῶν λόγων μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ *μεταβήσεται ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. 25. (ἀμήν, ἀμὴν λέγω ὑμῖν,) ὅτι ἔρχεται ὥρα, * ὅτε οἱ νεκροὶ ἀκούσουσιν τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ καὶ οἱ ἀκούσαντες ζήσουσιν. 26. ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως καὶ τῷ υἱῷ ἔδωκεν ζωὴν

---

89. cf. Tiedke I 25. 92. ἐρχομένην vulgo. corr. Koechly de par. 12, quem secutus est Marcellus. ἐπ' ἐκείνην vulgo. corr. Wernicke ad Tryph. 262. cf. Ludwich Beitr. 28 et Mus. Rhen. 35, 500. 95. παλιγγενέα L νεκυσσόος Pa. 97. ἀναζήσουσιν V ἀναζήσωσιν cet. et edd. 98. μιῆς L ἐμῆς cet. et edd. μιῆς e coniectura Marcellus et Tiedke I 44. νέης Hermann Orph. 819 et cens. 995. 99. φεροζώοιο PPa corr. Nansius. 100. παμμη$^{\tau\rho\alpha}$ Pa. 102. ὥυτω L.

ζωὴν καὶ ζαθέην ὑψίζυγον ὤπασε τιμὴν 27
καὶ κρίσιν, ὧν ἐθέλει, τελέειν ἰσόζυγι θεσμῷ,
105 ὅττι περ ἀνθρώποιο φερέσβιος υἱὸς ἀκούει·
καὶ μὴ θάμβος ἔχητε, καὶ εἴ τινα θέσκελον ὀμφὴν 28
ἔννεπον ἐσσομένην, ὅτι λοίσθιος ἔρχεται ὥρη
καὶ νῦν ἄγχι βέβηκεν, ἀολλέες ὁππότε νεκροὶ
ζωοτόκων ἀίοντες ἀνοστήτων ἀπὸ τύμβων
110 Χριστοῦ φθεγγομένοιο δεδεγμένοι ἔνθεον ἠχὼ
πάντοθεν ἀίσσουσι, καὶ ὄψιμος ἄλλος ἐπ' ἄλλῳ
ἀρχαίῃ πελάσειε παλιγγενὲς ἴχνος ἀρούρῃ·
οἱ μὲν ἀεθλεύσαντες ἀμεμφέα πιστὸν ἀγῶνα 29
ζωῆς ἀθανάτης ἐς ἀνάστασιν, οἱ δὲ καμόντες
115 ἔργα πολυπλανέος βιοτῆς ἑτερόφρονι λύσσῃ
κρίσιος ἐσσομένης ἐς ἀνάστασιν· οὐρανίου μὲν 30
οὐ δύναμαι γενετῆρος ἀπόπροθεν οὐδὲν ἀνύσσαι
αὐτόματος, κρίνειν δὲ δυνήσομαι, ὥςπερ ἀκούω·
νημερτὴς δέ μοί ἐστιν ἐμὴ κρίσις· οὐ γὰρ ἱκάνω

ἔχειν ἐν ἑαυτῷ, 27. καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν. 28. μὴ θαυμάζετε τοῦτο, ὅτι ἔρχεται ὥρα *καὶ νῦν ἐστιν, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσουσιν τῆς φωνῆς αὐτοῦ, 29. καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ *δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. 30. οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν· καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν, ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα

---

103. ἰσότυπον Marcellus; refutavit Ludwich Beitr. 123.

κῦδος ἐμὸν τελέειν διζήμενος, ἀλλὰ τοκῆος·
τιμὴν ἡμετέρην οὐ φθέγγομαι· ἣν γὰρ ἐνίψω 31
μαρτυρίην ἰδίην, οὐ πείθεται ἄλλος ἀκούων·
οὐ γὰρ ἐμὸς πέλε μῦθος ἐτήτυμος, ἤνπερ ἐνίψω
μαρτυρίην ἰδίην αὐτόθροον· ἀμφ' ἐμέθεν δὲ 32
ἄλλος ἀνὴρ πέλε μάρτυς ἐπάρκιος· οἶδα δὲ κείνου
πιστὴν μαρτυρίην καὶ ἐτήτυμον· εἰρόμενοι δὲ 33
ἁγνὸν Ἰωάννην θεοδέγμονος ἔγκυον ὀμφῆς
ὑμεῖς οὐρεσίφοιτον ἐπέμψατε λαὸν ὁδίτην
ἀνδρῶν μυστιπόλων καὶ ἀμεμφέα θέσκελος ἀνὴρ
μῦθον ἀληθείης ἀλύτῳ σφρηγίσσατο δεσμῷ
μάρτυρος ἐμπεδόμυθος· ἐπιχθονίης δ' ἀπὸ φωνῆς 34
μαρτυρίην μερόπων οὐ δέχνυμαι, ἀλλὰ διδάσκων
Ἑβραίους τάδε πάντα μετέρχομαι, ὄφρα μαθόντας
ὑμέας εἰν ἑνὶ πάντας ἐμοῖς ἐπέεσσι σαώσω·
κεῖνος Ἰωάννης νοεροὺς σπινθῆρας ἰάλλων 35
εὐσεβίης πέλε λύχνος ἐτήτυμος, ἀνδράσι φαίνων·
ὑμεῖς δ' εἰς στροφάλιγγα μιῆς ταχυδινέος ὥρης

τοῦ πέμψαντός με. 31. ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής· 32. ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ *οἶδα, ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. 33. ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκεν τῇ ἀληθείᾳ· 34. ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε. 35. ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων, ὑμεῖς δὲ ἠθελή-

---

124. ἰδίαν V ἀμφέμεθεν Pa. 125. δ' ἐκείνου vulgo, corr. Ludwich Mus. Rhen. 35, 502. 130. σφραγίσατο Pa θεσμῶι L μύθω cet. et edd. θεσμῷ Wernicke in marg. probavit Kinkel l. c. 21. corr. Marcellus et Tiedke I 34. 132. δέγνυμαι PPa. 134. εἰ P εἰ in marg. εἰν ἑνὶ Pa.

κείνου μαρτυρίῃσιν ἐφαιδρύνασθε φανέντος
ὕδασιν ἀστράπτοντος ἀγαλλόμενοι περὶ λύχνου,
140 ὕδασι θεσπεσίοισιν· Ἰωάνναο δὲ φωνῆς 36
μείζονα μαρτυρίην μεθέπω καὶ ὑπέρτερον ὀμφήν·
ἔργα γάρ, ὁππόσα δῶκε πατὴρ ἐμός, ὄφρα τελέσσω,
φθέγγεται αὐτοβόητα λάλῳ σάλπιγγι σιωπῆς·
ταῦτά με κηρύσσει καὶ ἐρεύγεται ἔμπεδον αὐδήν·
145 οὐδὲ πατήρ με λέλοιπεν ἀκηρύκτῳ τινὶ σιγῇ, 37
ὅστις ἐμὲ προέηκεν ἀπ' αἰθέρος· ἀλλὰ καὶ αὐτὸς
φθεγγομένοις στομάτεσσι θεογλώσσων διὰ φωτῶν
μαρτυρίην ζώουσαν ἀμοιβαίῃ πόρε δέλτῳ,
ὅστις ἐμὲ προέηκε· καὶ ἔνθεον οὔποτε μορφὴν
150 πατρὸς ἐθηήσασθε καὶ οὐκ ἠκούσατε φωνῆς,
οὐδέ οἱ ἀπλανέεσσι φυλάσσετε μῦθον ἀκουαῖς· 38
ὃν γὰρ ἐμὸς προέηκε πατὴρ χραισμήτορα κόσμου
οὐ θεὸν υἷα δέχεσθε καὶ οὐ πέμψαντα τοκῆα·

σατε ἀγαλλιαθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ. 36. ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου· τὰ γὰρ ἔργα ἃ *ἔδωκέν μοι ὁ πατὴρ ἵνα τελειώσω αὐτά, αὐτὰ τὰ ἔργα * μαρτυρεῖ περὶ ἐμοῦ (ὅτι ὁ πατήρ με ἀπέσταλκεν.) 37. καὶ ὁ πέμψας με πατὴρ *αὐτὸς μεμαρτύρηκεν περὶ ἐμοῦ· οὔτε φωνὴν αὐτοῦ πώποτε ἀκηκόατε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε, 38. καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε ἐν ὑμῖν μένοντα, ὅτι ὃν

---

139. περὶ V (περι) L παρὰ cet. et edd. ὕδασιν] ἠθάσιν Marcellus; refutavit Ludwich Beitr. 107. de resumptione vocabuli ὕδασιν cf. Tiedke Herm. XIII 353. 141. μεθέπων A, corr. Iuvenis. 144. ante h. v. et post eum singulos versus deesse putavit Kaehler

γραπτὰ θεορρήτων μαστεύετε θέσφατα βίβλων, 39
ἧσιν ἔχειν ἔλπεσθε χρόνου παλιναυξέι κύκλῳ
ζωὴν οὐ μινύθουσαν· ἐνὶ γραφίδεσσι δὲ κεῖναι
μαρτυρίην βοόωσιν ἐμὴν ὑποφήτορι μύθῳ
ἀθανάτῳ σάλπιγγι· καὶ οὐ σπέρχεσθε μαθόντες 40
γράμματα φωνήεντα θελήμονες εἰς ἐμὲ βαίνειν·
τιμὴν ἐκ μερόπων οὐ δέχνυμαι· ἀλλά που ἔγνων 41 42
ὑμέας ἀστόργοισιν ἐν ἤθεσιν, οὐδὲ τοκῆος
φίλτρον ἐπουρανίοιο φυλάσσετε παμβασιλῆος·
ἦλθον ἐγὼ βοόων πατρώιον οὔνομα κόσμῳ, 43
καὶ θεὸν οὔ με δέχεσθε καὶ οὐ πείθεσθε τοκῆι·
εἰ δέ τις ἄλλος ἵκοιτο νόθος ψευδώνυμος ἀνὴρ
ἀντίθεος, τότε κεῖνον ἀνάρσιον ἠπεροπῆα
αὐτίκα μειλίσσεσθε τεθηπότες, ὄφρα τις εἴπῃ·
γνήσιον ἠρνήσαντο, νόθον δ' ἐδέχοντο φανέντα·
πῶς δέ με, πῶς δὲ δύνασθε θεοῦ λόγον υἷα γε-
ραίρειν 44
κῦδος ἀπ' ἀλλήλων ἐπιδέγμενοι, οὐδὲ δαῆναι

ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε. 39. ἐρευνᾶτε τὰς γραφάς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, 40. καὶ οὐ θέλετε ἐλθεῖν πρός με (ἵνα ζωὴν ἔχητε.) 41. δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω, 42. ἀλλὰ ἔγνωκα ὑμᾶς, ὅτι οὐκ ἔχετε τὴν ἀγάπην τοῦ θεοῦ ἐν ἑαυτοῖς. 43. ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. 44. πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν

154. γναμπτὰ V. 160. δέγνυμαι P δέγνυμαι Pa. 164. πείσθεσθε P corr. Brubachius. 170. πιτιδέχμενοι L ποτιδέγμενοι cet. et edd. corr. Wernicke ad Tryph. 392, cui adsentitur Marcellus.

μούνου παγγενέταο θεοῦ μαστεύετε τιμήν;
ἦ ῥα μάτην ἔλπεσθε, κατήγορα χείλεα λύσας 45
ὑμείων ὅτι λύσσαν ἐμῷ γενετῆρι βοήσω·
ὑμέας ἐν γραφίδεσσι κατήγορος ἄλλος ἐλέγχει,
175 Μωσῆς θεσμοθέτης πρωτόθροος, ᾧ ἔπι μούνῳ
ἐλπίδες ὑμείων θεοπειθέες· εἰ γὰρ ἐκείνου 46
ἔμπεδον ἀπλανέεσσιν ἐθήκατε μῦθον ἀκουαῖς,
καί κεν ἐμοὶ πείθεσθε πεποιθότες· ἀμφ' ἐμέθεν γὰρ
θεῖος ἀνὴρ ἔγραψεν ἐτήτυμος· εἰ δ' ἄρα κείνου 47
180 γράμμασιν οὐ πείθεσθε, τάπερ θεὸς ὤπασε κόσμῳ,
μᾶλλον ἀκηλήτοισι πόθεν δέξοισθε μενοιναῖς
ἄγραφον ἡμετέρων στομάτων ἀίοντες ἰωήν.

ΚΕΦ. Ζ.

Ἔννεπε καὶ μετέπειτα πέρην Τιβερηίδος ἅλμης 1
νηὶ πολυκλήιδι ταμὼν ἀντώπιον ὕδωρ
γείτονα γαῖαν ἔδυνε· συνεσσεύοντο δὲ λαοὶ 2
θαύματα παπταίνοντες, ἅπερ κάμεν ἠθάδι μύθῳ,

δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε; 45. μὴ δοκεῖτε ὅτι * κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν *Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε. 46. εἰ γὰρ ἐπιστεύσατε *Μωσεῖ, *ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. 47. εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασιν πιστεύσετε;

1. Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης * τῆς Τιβεριάδος· 2. ἠκολούθει δὲ αὐτῷ ὄχλος

ῥυόμενος βαρύνουσον ἱμασσομένων δέμας ἀνδρῶν·
καὶ δαπέδου λοφόεντος ἐρημάδα πέζαν ὁδεύων 3
εἰς ὄρος ὑψικάρηνον ἀνήιε· μεσσοφανῆ δὲ
ἑζόμενον στεφανηδὸν ἐκυκλώσαντο μαθηταί.
καὶ σχεδὸν Ἑβραίοισι φιλόργιος ἦεν ἑορτή, 4
πάσχα τόπερ καλέουσι· δι' εὐδένδροιο δὲ λόχμης 5
ὀφθαλμοὺς ἀνάειρε, καὶ ἄσπετον ἄλλον ἐπ' ἄλλῳ
ἔδρακεν ἀγχικέλευθον ἐπήλυδα λαὸν ὁδίτην.
ἑζόμενον δὲ Φίλιππον ἑῷ μειλίξατο μύθῳ·
εἰπέ, πόθεν πριάμεσθα πολυσπερέων χύσιν ἄρτων
ἀνδράσι τοσσατίοισιν; ἑὴν δ' ἔκρυπτε μενοινὴν 6
καὶ νόον ἀγνώσσοντος ἐπειρήτιζε Φιλίππου·
αὐτὸς γὰρ δεδάηκε, τόπερ καὶ ἔμελλε τελέσσαι.
ἀσχαλόων δὲ Φίλιππος ἐμίγνυε θαύματι φωνήν· 7
λαὸν ἴσον ψαμάθοισι διηκοσίων τινὶ μέτρῳ

3. ἀνῆλθεν δὲ εἰς τὸ ὄρος Ἰησοῦς, καὶ ἐκεῖ ἐκαθέζετο μετὰ τῶν μαθητῶν αὐτοῦ· 4. ἦν δὲ ἐγγὺς τὸ πάσχα ἡ ἑορτὴ τῶν Ἰουδαίων. 5. ἐπάρας οὖν τοὺς ὀφθαλμοὺς ὁ Ἰησοῦς καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτόν, λέγει πρὸς Φίλιππον· πόθεν ἀγοράσωμεν ἄρτους, ἵνα φάγωσιν οὗτοι; 6. τοῦτο δὲ ἔλεγεν πειράζων αὐτόν· αὐτὸς γὰρ ἤδει, τί ἔμελλεν ποιεῖν. 7. *ἀπεκρίθη *οὖν Φίλιππος· διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος βραχύ *

5. sequitur inscriptio: περὶ τῶν πέντε ἄρτων V. 6. ἐρημαδε L ἐρημάδος sed in marg. δα P. corr. Iuvenis. 7. ὑψικάρηνον L. 10. τάπερ L ὀφθαλμὸν A corr. Iuvenis. 13. ἑῇ μυθήσατο φωνῇ Marcellus; refutavit Ludwich Beitr. 116. 14. πριόμεσθα LMa πριόμεθα VP πριάμεθα Pa. corr. Iuvenis. 16. περὶ τῶν ἑ ἄρτων καὶ δύο ἰχθύων in margine d. P. 17. καὶ ἔμελλε L καὶ om. et ἔμελλε V καὶ om. et ἤμελλε cet. et edd. τόπερ τ' ἤμελλε Hermann cens. 995. Wernicke in marg. e coniectura locum emend., quod probavi Quaest. Nonn. I 9. 18. ἀσχολόων VP.

20 ἄρτοι δηναρίων οὐκ ἄρκιοί εἰσι κορέσσαι,
ὄφρα κε βαιὸν ἕκαστος ἔχῃ μέρος. εἷς δέ τις αὐτῶν 8
ἀγχιθέων ἑτάρων εὐάγγελον ἴαχε φωνήν,
Ἀνδρείας βασιλῆι χέων φερέδειπνον ἰωήν,
ὑγροπόρου Σίμωνος ἀδελφεὸς ἰχθυβολῆος·
25 ἔστι τις ἐνθάδε κοῦρος ἔχων κριθώδεας ἄρτους 9
πέντε καὶ ἀγχιπόρου διδυμάονας ἰχθύας ἅλμης,
ἰχθύας ὀπταλέους διδυμάονας· ἀλλὰ τί ῥέξει
ταῦτα πολυγλώσσῳ μεμερισμένα σύζυγι λαῷ;
Ἰησοῦς δ' ἐκέλευσεν ἑτοιμοτάτοισιν ἑταίροις· 10
30 κλίνατε δαιτυμόνων μιγάδας στίχας ὑψόθι γαίης·
ἦν δέ τις αὐτόθι χόρτος ἀπείριτος. ἀμφιλαφὴς δὲ
σύμπλοκος ἐσμὸς ἔην ὁμοδόρπιος ὑψόθι χόρτου·
πέντε δὲ χιλιάδες πολυειδέες ἦσαν ἀριθμῷ
δαιτυμόνων· καὶ ἕκαστος ἐρείδετο γείτονι τοίχῳ
35 κεκλιμένοι στοιχηδὸν ἐπ' εὐπετάλοιο τραπέζης
μηκεδανῆς. καὶ πέντε λαβὼν κριθώδεας ἄρτους 11
Χριστὸς ἀειζώοντι χάριν γενετῆρι τιταίνων

λάβῃ. 8. λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου. 9. ἔστιν παιδάριον ὧδε, ὃς ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; 10. εἶπεν δὲ ὁ Ἰησοῦς· ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν. ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. ἀνέπεσαν οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι. 11. ἔλαβεν οὖν τοὺς *πέντε ἄρτους ὁ Ἰησοῦς καὶ *εὐχαριστήσας ἔδωκεν τοῖς ἀνακειμένοις, ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων, ὅσον ἤθε-

ἔκλασε συμπλεκέος παλάμης γαμψώνυχι παλμῷ
καὶ πόρε δαιτυμόνεσσι καὶ ὥρεγε πᾶσιν ἐδωδὴν
40 καὶ διδύμων νεπόδων, ὅσον ἤθελον. ἀλλ' ὅτε λαῷ 12
πειναλέῳ κόρος ἔσκε πολυφλοίσβοιο τραπέζης,
Ἰησοῦς ἐπέταξεν ὁμοζήλοισι μαθηταῖς·
πάντα ταχυστροφάλιγγι μιῇ συλλέξατε ῥιπῇ
κλάσματα πυκνωθέντα περισσοβότοιο τραπέζης,
45 ὄφρα κε μηδὲν ὄλοιτο. καὶ ἄστατος ἄλλος ἐπ' ἄλλῳ 13
φοιταλέων πεφόρητο διάκτορος ἐσμὸς ἑταίρων
ὄγκον ἐπασσυτέρων τελέων ὑψούμενον ἄρτων
χερσὶ βαθυνομένῃσιν· ἀπὸ χλοεροῖο δὲ χόρτου
ῥωγαλέης συνάγειρε πολύπλανα λείψανα φορβῆς,
50 ὅσσα περισσεύοντο· μιῆς δ' ἀπὸ πεντάδος ἄρτων
μαστεύων ἑλικηδὸν ἑῷ πολυχανδέι κόλπῳ
συμμιγέων ἔπλησε δυώδεκα κύκλα κοφίνων.
καὶ πολὺς ἄλλοθεν ἄλλος ἀνίαχε θαῦμα νοήσας, 14
Χριστὸς ὅπερ ποίησεν ὅλῳ θοινήτορι λαῷ,
55 ἄρτων αὐτομάτων παλιναυξέα δαῖτα γεραίρων.

λον. 12. ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ· συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται. 13. συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἃ ἐπερίσσευσαν τοῖς βεβρωκόσιν. 14. οἱ οὖν ἄνθρωποι ἰδόντες ὃ ἐποίησεν σημεῖον *ὁ Ἰησοῦς, ἔλεγον· * οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ εἰς τὸν

---

40. ἀλλότε L. 41. πολυφόρβοιο Marcellus. 42. 43. 44. om. L. 44. κλαύσματα P. corr. Iuvenis. 46. φοιταλέων L φοιταλέον V φοιταλέος cet. et edd. 47. ἄρτον V. 48. βαθυνομένοισιν V. 50. περισσεύοντι P περισσεύοντι Pa. 51. ἕως vulgo, corr. Iuvenis, quod probavit Hermann cens. 995. 52. κοφήνων L. 53. ἀνίαχε LMa ἐνίαχε cet. et edd. cf. Hermann cens. 995.

οὗτος, ὃν ἀείδουσιν ἐτήτυμός ἐστι προφήτης,
ὃν φάτις ἀενάοιο μολεῖν ἰθύντορα κόσμου.
εἰδὼς δ' αὐτοδίδακτος ἄναξ ὑποκάρδιον ὀμφήν, 15
ὅττι μολεῖν ἤμελλον ὁμήλυδες αὐτόθι λαοὶ
60 καί μιν ἀφαρπάξαντες ἀναστήσειν βασιλῆα,
οὔρεος ὑλήεντος ἐρημάδα δύσατο πέτρην.
καὶ σκιόεις ὅτε κῶνος ἀνέδραμε γείτονος ὄρφνης, 16
πόντον ἐς ἀντικέλευθον ἐπερρώοντο μαθηταί.
νῆα δ' ἐπαΐξαντες ἁλίδρομον, ἅρμα θαλάσσης, 17
65 γαῖαν ἐς ἀντιπέραιαν ἐπορθμεύοντο μαθηταὶ
ἄστυ Καφαρναοὺμ μετανεύμενοι· ἀρτιφανὴς δὲ
γαῖαν ὅλην ἐκάλυψε μελαγκρήδεμνος ὀμίχλη,
καὶ χροῖ ποικιλόνωτον ἐπισφίγξασα χιτῶνα
ἀστερόεν σελάγιζεν· ἐελδομένοις δὲ μαθηταῖς
70 οὔπω Χριστὸς ἵκανεν. ἐπειγομένης δὲ θυέλλης 18
ἀγχινεφὴς ἐπίκυρτος ἐπυργώθη ῥόος ἅλμης,

κόσμον ἐρχόμενος. 15. Ἰησοῦς οὖν γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρπάζειν αὐτὸν ἵνα ποιήσωσιν βασιλέα, φεύγει * εἰς τὸ ὄρος * . 16. ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν, 17. καὶ ἐμβάντες εἰς πλοῖον ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καφαρναούμ. *καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὔπω ἐληλύθει Ἰησοῦς πρὸς αὐτούς, 18. ἥ τε θάλασσα ἀνέμου μεγάλου πνέοντος διηγεί-

---

57. ἀεννάοιο V. 61. δύσσατο V sequitur περὶ τοῦ ἐν ἀγχικ θαλάσσῃ περιπατοῦντος V. 63. ἀμφικέλευθον P ἀμφικέλευθον sed in marg. d. ἀγχι Pa ἀγχικέλευθον cet. et edd.; ipse correxi. 64. cf. Ludwich Mns. Rhen. 35, 503

καὶ δολιχοῖς ἐλατῆρες ὕδωρ ἐχάρασσον ἐρετμοῖς
ἀντιπόροις ἀνέμοις βεβιημένον. εἰναλίων δὲ 19
τρεῖς δεκάδας σταδίων ἢ ἐείκοσι πέντε ταμόντες
Χριστὸν ἐθηήσαντο διαστείχοντα θαλάσσης,
ἄβροχον ἴχνος ἔχοντα, βατῆς ἁλὸς ὀξὺν ὀδίτην.
ταρβαλέοι δ' ἀλάλαζον· ἀτυζομένοις δὲ μαθηταῖς 20
Ἰησοῦς ὀάριζεν· ἐάσατε τάρβος ἀήταις.
Χριστὸς ἐγὼ ταχύγουνος ὁδοιπόρος εἰμὶ θαλάσσης.
καί μιν ἑλεῖν μενέαινον ἐς ὁλκάδα — καὶ μέσον ἅλμης 21
ἦν τότε — καὶ πέλεν ὅρμος, ἐπεὶ θεοδινέι παλμῷ
οἷα νόος πτερόεις ἀνέμων δίχα, νόσφιν ἐρετμῶν,
τηλεπόροις λιμένεσσιν ὁμίλεεν αὐτομάτη νηῦς.
ἀλλ' ὅτε πορφύρων Τιβερηίδα γείτονα πέτρην 22
ἀκροφανὴς ἐχάραξε λιπόσκιον ὄρθρος ὀμίχλην,
λαὸς ἐυκροκάλοιο πέρην ἀντώπιδος ἅλμης
ἱστάμενος σκοπίαζεν, ὅτι ζαθέῃ παρὰ λίμνῃ
ἰκμαλέης οὐκ ἦσαν ἱμασσομένης πέλας ἀκτῆς

ρετο. 19. ἐληλακότες οὖν ὡς στάδια εἴκοσι πέντε ἢ τριάκοντα, θεωροῦσιν τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης (καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον,) καὶ ἐφοβήθησαν. 20. ὁ δὲ λέγει αὐτοῖς (ἐγώ εἰμι,) μὴ φοβεῖσθε. 21. ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως ἐγένετο τὸ πλοῖον ἐπὶ τὴν γῆν, εἰς ἣν ὑπῆγον. 22. τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης *εἶδεν ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ εἰ μὴ ἕν, καὶ ὅτι οὐ συνεισῆλθεν τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς

---

74. ἐεικοσιπέντε MaP corr. Stephanus. 75. διαστίχοντα L. 78. ἐάσατε LV. 80. ἐσολκάδα καὶ μέσον L μέσον VMa μένος PPa et edd. Hermann cens. 995 pro vulgata μένος scripsit τέλος; totum locum e coniectura sanavit Tiedke I 53. 81. κοὐ (!) Marcellus. 82. πτερόης V. 84. Τιβερήτιδα vulgo. corr. Passow. 86. πέτρην LV ἀντώπιος Ma ἀντώπιος *sed in marg. sin.* πιδος PPa ἀντώπιος Marcellus.

στοιχάδες ἀλλήλησιν ὁμόζυγες ὁλκάδες ἄλλαι,
90 εἰ μὴ νηῦς μία μοῦνον ἀνέμπλοος, ὅττι καὶ αὐτὸς
οὐ τότε ποντοπόροιο μιῆς ἐπὶ νηὸς Ἰησοῦς
ἀγχιθέοις ἑτάροισι συνέπλεεν, ἀλλ' ὅτι μοῦνοι
γαῖαν ἐς ἀντικέλευθον ἐναντίλλοντο μαθηταί.
ἄλλας νῆας ἑλόντες, ὅπῃ Τιβερηίδες ἀκταί, 23
95 πόντον ἐπεσσεύοντο καὶ ἤλυθον ἐγγύθι χώρου,
λαὸς ὅπῃ νήριθμος ἐπ' εὐχόρτοιο τραπέζης
θέσκελον ἤσθιεν ἄρτον, ὃν ἔκλασεν ἀμβροσίῃ χεὶρ
Χριστοῦ παμμεδέοντι χάριν γενετῆρι διδόντος.
καὶ μὴ Χριστὸν ἄνακτα φερέσβιον, οὐδὲ μαθητὰς 24
100 ἑσπομένους εὑρόντες ἀμοιβαίων ἐπὶ νηῶν
πόντιον ἀφροκόμοισιν ὕδωρ λεύκαινον ἐρετμοῖς
ἄστυ Καφαρναοὺμ μετανεύμενοι. ἀγχιφανῆ δὲ 25
ἀντιπέρην εὑρόντες ἀσιγήτοιο θαλάσσης
Χριστὸν ἐκυκλώσαντο καὶ ἔννεπον ἡδέι μύθῳ·
105 ῥαββὶν ἄναξ, πότε δεῦρο παρέπλεες; ἁρπαλέης δὲ 26

τὸ πλοῖον, ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον· 23. ἄλλα δὲ ἦλθεν πλοάρια ἐκ Τιβεριάδος ἐγγὺς τοῦ τόπου ὅπου ἔφαγον τὸν ἄρτον εὐχαριστήσαντος τοῦ κυρίου. 24. ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν αὐτοὶ εἰς τὰ πλοιάρια καὶ ἦλθον εἰς Καφαρναοὺμ (ζητοῦντες) * . 25. καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης εἶπον αὐτῷ· ῥαββί, πότε ὧδε γέγονας; 26. ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν· (ἀμήν, ἀμὴν λέγω ὑμῖν,) ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ

εἰλαπίνης μνηστῆρα μετήλυδα λαὸν ἐλέγχων
Ἰησοῦς ἀγόρευε μιυυθαδίης ἀπὸ φορβῆς
εἰς θαλίην ζείδωρον ἀλήμονας ἀνέρας ἕλκων·
οἶδα, τί μαστεύοντες ἱκάνετε· νουσαλέων γὰρ
110 οὐ διὰ θαύματα κεῖνα, τάπερ κάμον ἠθάδι μύθῳ,
ὁππόσα θηήσασθε· πόθος δέ τις ὑμέας ἕλκει
ἄρτων θεσπεσίων παλινάγρετος, ὅττι φαγόντες
εἰλαπίνην νήριθμον ἐμῆς κεκόρησθε τραπέζης.
ἀλλὰ πολυπλανέεσσιν ἐάσατε σύνδρομον αὔραις 27
115 δαῖτα ταχὺ φθιμένην καὶ ἀνύσσατε μᾶλλον ἐκείνην
εἰλαπίνην μίμνουσαν ἀειζώοιο τραπέζης,
ἣν μόνος ἀνθρώποιο φερέσβιος υἱὸς ὀπάσσει,
τοῦτον ὅτι σφρήγιζε πατὴρ θεός. εἰρόμενος δὲ 28
λαὸς Ἰουδαίων φιλοπευθέα ῥήξατο φωνήν·
120 εἰπέ, τί κεν ῥέξωμεν, ὅπως θεοτερπέι θεσμῷ
ἔργα θεοῦ τελέσοιμεν· ἄναξ δ' ἠμείβετο μύθῳ· 29
ὀρθὴν πίστιν ἔχοντες ὅπως δέξησθε φανέντα,
ὅντινα κεῖνος ἔπεμπεν. ἐπεφθέγξαντο δὲ λαοί· 30
ποῖον ἐελδομένοις σημήιον ἄμμι τελέσσεις,

ἐχορτάσθητε. 27. ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου *ὑμῖν δώσει· τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεός. 28. εἶπον οὖν πρὸς αὐτόν· τί ποιῶμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ θεοῦ; 29. ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· (τοῦτό ἐστιν τὸ ἔργον τοῦ θεοῦ,) ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. 30. εἶπον οὖν αὐτῷ· τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι τί ἐργάζῃ;

---

108. βιόδωρον Marcellus. 114. ἐάσσατε L. 115. ταχυφθιμένην MaP ταχυφθιγμένην Pa corr. Stephanus ἀρέσσατε dubitanter Marcellus. 118. σφρήγιζε LV σφρήγισσε cet. *et edd.*

125 ὄφρα κε πειθοίμεσθα θεόσσυτον ἔργον ἰδόντες;
τί πρήξεις προτέροισιν ὁμοίιον; ἡμέτεροι γὰρ 31
αἰθέρος ἄφθιτον εἶδαρ ἐρημάδος ἔνδοθι πέτρης
μάννα πολυκλήιστον ἐθοινήσαντο τοκῆες,
γραπτὸς ἅπερ πέλε μῦθος· ἀμετρήτῳ ποτὲ λαῷ
30 οὐρανόθεν πόρεν ἄρτον, ἀφειδέι δαιτυμονῆι.
Ἰησοῦς δ' ὀάριζεν ἀγήνορα λαὸν ἐλέγχων· 32
Μωσῆς οὐ πάρος ὕμμιν ἐρημαίῃ παρὰ πέτρῃ
αἰθέρος ἄρτον ὄπαζε μελίρρυτον εἰλαπινάζειν,
ἀλλὰ πατὴρ ἐμὸς ἦεν, ὃς εἰςέτι φέρτερον ὑμῖν
35 οὐρανόθεν σοφὸν ἄλλον ἐτήτυμον ἄρτον ὀπάσσει.
οὗτος γὰρ πέλεν ἄρτος, ὃς οὐρανόθεν καταβαίνων 33
ζωὴν πασιμέλουσαν ὅλῳ δωρήσατο κόσμῳ.
καὶ πάλιν ὧδ' ἀγόρευεν Ἰουδαίων χορὸς ἀνδρῶν· 34
ζωῆς κοίρανε, τοῦτον, ὃν ἔννεπες ἔμπεδον εἶναι
40 αἰθέρος ἄρτον, ὅπασσον ἐτήτυμον εἰλαπινάζειν.

---

31. οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστιν γεγραμμένον· ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. 32. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς (ἀμήν, ἀμὴν λέγω ὑμῖν,) οὐ *Μωσῆς *ἔδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. 33. ὁ γὰρ ἄρτος ὁ τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. 34. εἶπον οὖν πρὸς

---

125. πειθοίμεθα V ἰδόντες L V Ma Pa utramque scripturam ἰδόντες et ἑλόντες P. corr. Nansius. 127. ἐγγύθι codd. (ἐνύθι V) corr. Bordatus. 128. ἐθοινήσαντο L V ἐθηήσαντο sed in marg. θοιν P ἐθήησαντο Ma Pa. coniectura ἐθοινήσαντο Marcellus. 129. ἅπερ πολύμυθος L. ἅπερ [illegible]

Ἰησοῦς δ' ἐπέτασσε θεηγόρον ἀνθερεῶνα 35
καὶ χάριτος πλήθουσαν ἀνήρυγε χείλεσι φωνήν·
ζωῆς ἄφθιτος ἄρτος ἐγὼ πέλον, αἴθοπι λιμῷ
οὔποτε πεινήσειεν ἀνὴρ βροτὸς εἰς ἐμὲ βαίνων.
145 καὶ πᾶς ἡμετέρην ἀστεμφέα πίστιν ἀέξων
οὔποτε διψήσειεν, ἕως ἔτι καμπύλος ἕρπων
αἰὼν εὐρυγένειος ἀτέρμονα νύσσαν ἀμείβει.
ἀλλ' ὑμῖν ἀγόρευον, ἐμῆς ὅτι θαύματα φωνῆς 36
ὄμμασι θηήσασθε καὶ οὐ πείθεσθε τοκῆι.
150 πᾶς βροτός, ὅν μοι ὄπασσε πατὴρ ἐμός, εἰς ἐμὲ κάμψει 37
ἴχνος ἑὸν θεόθεν πεφορημένος· οὐδὲ καὶ αὐτὸς
ἀνέρας ἐρχομένους νεοπειθέας ἐκτὸς ἐλάσσω,
ἀλλὰ νόῳ χαίροντι δεδέξομαι. οὐ γὰρ ἐέλδωρ 38
ἤλυθον οὐρανόθεν τελέων ἐμόν, ἀλλὰ τοκῆος.
155 τοῦτο δὲ παμμεδέοντος ἐμοῦ πέλε πατρὸς ἐέλδωρ, 39

αὐτόν· κύριε, πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον. 35. εἶπεν *δὲ αὐτοῖς ὁ Ἰησοῦς· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρὸς ἐμὲ οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσει πώποτε. 36. ἀλλ' εἶπον ὑμῖν ὅτι καὶ ἑωράκατέ *με καὶ οὐ πιστεύετε. 37. πᾶν ὃ δίδωσίν μοι ὁ πατὴρ πρὸς ἐμὲ ἥξει, καὶ τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω, 38. ὅτι καταβέβηκα ἀπὸ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιήσω τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ *πατρός. 39. τοῦτο δέ ἐστιν τὸ θέλημα τοῦ *πατρός, ἵνα πᾶν ὃ *ἔδωκέν μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ,

---

141. ἐπέ^{τασσε} L. 143. πέλον LVMa πέλω cet. et edd. cf. Ludwich Mus. Rhen. 35, 511. 150. Lehrs l. c. 273 sq. 'an Z 150 et Σ 58 hoc modo a Nonno profecta sint, nescio'. Quod ipse conieci Z. f. d. ö. G. 1878 p. 898 sq., nunc revoco; nihil enim mutandum est. 151. cf. Tiedke I 8.

ὄφρα κεν, ὧν γενέτης ἐμὸς ὤπασε, μηδὲν ὀλέσσω,
ἀλλά μιν ἀχλυόεντος ἀναστήσοιμι βερέθρου
νόστιμον ἐκ νεκύων, ὅτε λοίσθιον ἦμαρ ἱκάνει.
τοῦτο γὰρ αἰγλήεντος ἐμοῦ πέλε νεῦμα τοκῆος, 40

ἀλλὰ ἀναστήσω *αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. 40. τοῦτο γάρ ἐστιν τὸ θέλημα τοῦ πατρός μου, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον καὶ ἀναστήσω αὐτὸν * ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. (41. ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν· ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ, 42. καὶ ἔλεγον· οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς νῦν λέγει οὗτος ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα; 43. ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· μὴ γογγύζετε μετ' ἀλλήλων. 44. οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. 45. ἔστιν γεγραμμένον ἐν τοῖς προφήταις· καὶ ἔσονται πάντες διδακτοὶ θεοῦ. πᾶς ὁ ἀκούσας παρὰ τοῦ πατρὸς καὶ μαθὼν ἔρχεται πρός με. 46. οὐχ ὅτι τὸν πατέρα ἑώρακέν τις, εἰ μὴ ὁ ὢν παρὰ τοῦ θεοῦ· οὗτος ἑώρακεν τὸν πατέρα. 47. ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων ἔχει ζωὴν αἰώνιον. 48. ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. 49. οἱ πατέρες ὑμῶν ἔφαγον ἐν τῇ ἐρήμῳ τὸ μάννα καὶ ἀπέθανον· 50. οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ. 51. ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τοῦ ἐμοῦ ἄρτου, ζήσει εἰς τὸν αἰῶνα. καὶ ὁ ἄρτος δὲ, ὃν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, ἡ σάρξ μου ἐστίν. 52. ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι λέγοντες· πῶς δύναται ἡμῖν οὗτος δοῦναι τὴν σάρκα φαγεῖν; 53. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ

160 ὄφρα κε πᾶς ὁρόων με, πανίλαον ὄμμα τιταίνων,
ζωῆς ἐσσομένης αἰώνιον εἰς χορὸν ἔλθῃ,
καί μιν ἀναστήσω παλινάγρετον, ὁππότε κείνης
— — — — — — — — — —
ὑστατίης ὅτε φέγγος ἐλεύσεται ἠριγενείης.
ζωῆς γὰρ πέλεν εἶδαρ ἐτήτυμον ἡμετέρη σάρξ, 55
165 αἷμα δ' ἐμὸν νημερτὲς ἔφυ ποτόν· ὃς δέ κεν ἀνὴρ 56
σαρκὸς ἐμῆς γεύσαιτο καὶ αἵματος εἰν ἑνὶ θεσμῷ,
οὗτος ἀνὴρ ἐν ἐμοὶ μενέει, καὶ ὁμόζυγος αὐτῷ
ἔσσομαι, ἔμπεδος οἶκος, ἀειρόμενος καὶ ἀείρων.
ὡς δὲ πατὴρ ζώων με βοηθόον ὤπασε κόσμῳ, 57
170 ζώω δ' ὑψιμέδοντος ἐμοῦ διὰ νεῦμα τοκῆος
αὐτὸς ἐγώ, καὶ ἐκεῖνος ἀνὴρ ἰσόζυγι θεσμῷ
ἐξ ἐμέθεν ζήσειεν ἐμὸν δέμας εἰλαπινάζων.
ζωῆς ἄφθιτος ἄρτος ἐτήτυμος οὗτος ἀκούει, 58

γων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.) 55. ἡ γὰρ σάρξ μου ἀληθής ἐστιν βρῶσις, καὶ τό αἷμά μου ἀληθής ἐστιν πόσις. 56. ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ *μενεῖ, κἀγὼ ἐν αὐτῷ. 57. καθὼς ἀπέστειλέν με ὁ ζῶν πατὴρ κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσει δι' ἐμέ. 58. οὗτός ἐστιν ὁ ἄρτος (ὁ ἐξ οὐρανοῦ καταβάς,) οὐ καθὼς ἔφαγον οἱ πατέρες *ὑμῶν *τὸ μάννα καὶ ἀπέθανον· ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσει εἰς τὸν αἰῶνα.

---

161. ἐς vulgo corr. Ludwich Mus. Rhen. 35, 499. 162. κείνης ultimae tres literae evanuerunt L. 163. lacuna 13 versuum Ma. ὅτε] γλυκὺ et lac. post v. 163 Iuvenis. cf. Hermann cens. 996. 164. ζωῆσ γὰρ πέλεν εἶδαρ L ζωῆς γὰρ πέλεν ἐτήτυμον V ζωὴ γὰρ πελεν ἐτήτυμον MaPPa. corr. Iuvenis. cf. Hermann cens. 996. 165. cf. Ludwich Mus. Rhen. 35, 503. 166. cf. Tiedke Herm. XIII 66. 170. ζώῳ Pa.

οὐχ οἷον τὸ πάροιθεν ἐρημαίῃ παρὰ λόχμῃ
175 ὑμέτεροι γλυκὺν ἄρτον ἐθοινήσαντο τοκῆες
καὶ θάνον ἐν σκοπέλοισιν ὀριπλανέες μετανάσται.
τοῦτον ἀνὴρ ἐπάρουρος ἐτήτυμον ἄρτον ἐρέπτων
ζωὴν ὄψεται οὗτος, ἕως δολιχοῖο γενείου
ἀμφιλαφὴς πολιῇσι κόμην λευκαίνεται Αἰών.
180 ταῦτα βαθυκρήπιδι Καφαρναοὺμ ἐνὶ γαίῃ 59
ἔννεπεν εὐλάιγγος ἔσω νηοῖο διδάσκων.
πολλοὶ δ' εἰςαΐοντες ἀμερσινόῳ τινὶ λύσσῃ 60
εἰς χόλον οἰστρηθέντες ἐμυθήσαντο μαθηταί·
σκληρὸς ἐμοὶ λόγος οὗτος, ὃν ἔννεπε. καὶ τίς ἀκούειν
185 αὐτοῦ φθεγγομένοιο δυνήσεται; αὐτόματος δὲ 61
γινώσκων, ὅτι λαὸς ὑποτρύζεσκεν ἑταίρων
λαθριδίην ἀχάλινον ὑποκλέπτοντες ἰωήν
Χριστὸς ἁμαρτινόοισιν ἔπος ξύνωσε μαθηταῖς·
ὑμείων ὅδε μῦθος ἀπειθέα θυμὸν ἀμύσσει·

---

59. ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν Καφαρναούμ. 60. πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον· σκληρός ἐστιν ὁ λόγος οὗτος· *καὶ τίς δύναται αὐτοῦ ἀκούειν; 61. εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ, ὅτι γογγύζουσιν περὶ τούτου οἱ

---

174. λόχμῃ] πέτρῃ Marcellus. cf. Tiedke I 14 et Hilberg l. c. 128. 175. ἐθοινήσαντο LPa (in ras.) ἐθηήσαντο VMaP. corr. Bordatus. 176. ἀριπλανέες V ἀριπλανέες PPa. 178. Lehrs l. c. idem vult, quod Γ 168. 180. καφαρναοῦμ L. 186. ὑποδρῆσ ἔσκεν L. ὑποδρὸς ἔσκεν [illegible]

190 εἰ δέ κεν ἀθρήσητε συναστράπτοντα τοκῆι, 62
αἰθερίων, ὅθεν ἦλθεν, ἑῶν ἐπιβήτορα θώκων
ἀνθρώπου πάλιν υἷα, τί ῥέξετε τοῦτο μαθόντες;
πνεῦμα πέλει ζωαρκὲς ὑπέρτερον. ἀλλογενὴς δὲ 63
σαρκὸς ἐπιχθονίης βροτέη φύσις οὐδὲν ὀνήσει·
195 μύθων δ' ἡμετέρων ῥόος ἔνθερος, οὓς ἀγορεύω,
ζωὴ ὁμοῦ καὶ πνεῦμα πέλει καὶ ἐτήτυμος ὀμφή.
ἀλλὰ τινὲς γεγάασιν ἀπειθέες ἄφρονι λύσσῃ· 64
ἤδεε γάρ, τίνες ἦσαν, ὅσοι νόον εἶχον ἀλήτην
πίστιν ἁλιπλανέεσσιν ἐπιτρέψαντες ἀέλλαις,
200 καὶ τίς ἀνὴρ μιν ἔμελλεν Ἰουδαίοις παραδώσειν
ἀργυρέης νούσοιο νόον δεδονημένος οἴστρῳ.
καί σφιν ἄναξ ἀγόρευεν· ὅθεν πάρος ἔννεπον ὑμῖν· 65
οὐ δύναται μερόπων τὶς ἑκούσιος εἰς ἐμὲ βαίνειν,
εἰ μὴ ἀφ' ἡμετέροιο θεῷ πεφιλημένος ἀνὴρ
205 τοῦτο γέρας δέξοιτο χαριζομένοιο τοκῆος.
οὔ χάριν ἀστήριπτος ὀπισθοπόρῳ ποδὶ βαίνων 66

μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· τοῦτο ὑμᾶς σκανδαλίζει; 62. ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον; 63. τὸ πνεῦμά ἐστιν τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· τὰ ῥήματα ἃ ἐγὼ *λαλῶ ὑμῖν, πνεῦμά ἐστιν καὶ ζωή ἐστιν. 64. ἀλλ' εἰσὶν ἐξ ὑμῶν τινὲς οἳ οὐ πιστεύουσιν. ἤδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς, τίνες εἰσὶν οἱ μὴ πιστεύοντες καὶ τίς *ἦν ὁ μέλλων αὐτὸν παραδιδόναι. 65. καὶ ἔλεγεν *αὐτοῖς· διὰ τοῦτο εἴρηκα ὑμῖν, * οὐδεὶς δύναται ἐλθεῖν πρὸς ἐμέ, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ πατρός *μου· 66. ἐκ τούτου * πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπά-

---

190. ἀθροίσητε V. σὺν ἀστράπτοντα L. 195—214. om. VMa. 198—214. om. P sed in margine adscripti sunt. ἤδεε PPa corr. Iuvenis. 204. ἀμφ' Pa θεοῦ Passow. 205. δέξοιτο LPPa δέξαιτο edd.

χάζετο τηλεπόρων μετανάστιος ἐσμὸς ἑταίρων,
οὐκέτι δ' ὡς τὸ πάροιθε, μετάτροπον ἦθος ἀμείψας,
Χριστῷ ἐφωμάρτησε τὸ δεύτερον· εἰςορόων δὲ 67
κοίρανος ἀσταθέων ἑτερόφρονα λαὸν ἑταίρων
ἄψ ἀνασειράζοντα μετήλυδα λαὸν ἀλήτην,
ἔννεπε πιστοτέροισι δυώδεκα πᾶσι μαθηταῖς·
ἦ ῥα σὺν ἀλλοδαποῖσι μολεῖν σπέρχεσθε καὶ αὐτοὶ
γνήσιοι; ἦ ῥα νόθοισιν ὁμοίιοί εἰσι μαθηταί;
καί οἱ Πέτρος ἔλεξε βοώμενος οὔνομα Σίμων· 68
πρὸς τίνα φέρτερον ἄλλον ἱκάνομεν; ἀμφιέπεις γὰρ
ζωῆς ἀενάοιο μελίρρυτα χεύματα μύθων.
καὶ προτέρων δεδαῶτες ἀσιγήτων ἀπὸ βίβλων 69
ἀπλανέες πιθόμεσθα μιῇ καὶ ὁμόφρονι βουλῇ,
ὅττι θεοῦ σὺ πέλεις ἅγιος μόνος. ἡδυεπὴς δὲ 70
ἀντίτυπον φάτο μῦθον ἄναξ πειθήμονι Πέτρῳ·
ὑμέας οὐ φρένα πᾶσαν ἐγὼ δεδαημένος ἀνδρῶν
ἐκ πολέων ἔκριν; καὶ εἷς ἐναρίθμιος ὑμῖν

τουν. 67. εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς δώδεκα *μαθηταῖς· μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; 68. ἀπεκρίθη *οὖν αὐτῷ Σίμων Πέτρος· κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις, 69. καὶ ἡμεῖς *ἐγνώκαμεν καὶ πεπιστεύκαμεν ὅτι σὺ εἶ ὁ ἅγιος τοῦ θεοῦ. 70. ἀπεκρίθη *αὐτῷ· οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν.

208. cf. Tiedke I 14. 210. χῶρον Marcellus. 214. οἵ Iuvenis. 217. ἀεννάοιο V. 218. δεδαότες L. 219. πείθόμεσθα L. πειθόμεθα V.

δήιος, ἀλλοπρόςαλλος, ὁμέστιός ἐστι μαθηταῖς, 1
225 διάβολος νέος ἄλλος ἐν ὀψιγόνοισιν ἀκούων·
ἔννεπε σημαίνων ὁμοδόρπιον Ἰσκαριώτην 71
αἰνοτόκου Σίμωνος ἐπίκλοπον υἱὸν Ἰούδαν.
οὗτος γάρ μιν ἔμελλε πορεῖν ζωαρκέι πότμῳ
χρυσομανὴς δολίης πεφορημένον εἰς λίνον ἄγρης, 1
230 εἷς γεγαὼς ἑτάρων δυοκαίδεκα.

ΚΕΦ. Η.

Καὶ τότε ναίων 1
κοίρανος αὐτόθι μίμνεν ἀλεξικάκοισι πεδίλοις
γαῖαν ἁλικρήπιδα διαστείχων Γαλιλαίης.
οὐ γὰρ Ἰουδαίων πέδον ἤθελεν ἁγνὸν ὁδεύειν,
5 ὅττι μιν ἠπεροπῆι δόλῳ μενέαινον ὀλέσσαι
υἷες Ἰουδαίων ὁσίῳ χαίροντες ὀλέθρῳ.
ἦν δὲ θεῷ πάνδημος ἐτήσιος ἐγγὺς ἑορτὴ 2
πηγνυμέναις κλισίῃσιν ἐπώνυμος. ἀγχίμολοι δὲ 3
γνωτοὶ ψευδαλέοι τετράζυγες υἷες Ἰωσὴφ

---

71. ἔλεγεν δὲ τὸν Ἰούδαν Σίμωνος *Ἰσκαριώτην· οὗτος γὰρ ἔμελλεν αὐτὸν παραδιδόναι εἷς ὢν ἐκ τῶν δώδεκα.

1. *Καὶ μετὰ ταῦτα περιεπάτει ὁ Ἰησοῦς ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι. 2. ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνοπηγία. 3. εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· μετάβηθι ἐντεῦθεν καὶ ὕπαγε εἰς τὴν Ἰουδαίαν, ἵνα

---

224. μέστιος Pa. Interpolatoris esse Gerhard l. c. 203 censuit. 228. αὐτὸς vulgo; ipse correxi. 229. πεφορημένος Marcellus εἷς L ἐς cet. et edd. cf. Ludwich Mus. Rhen. 35, 499.

2. ἀνεξικάκοισι vulgo; corr. Wernicke ad Tryph. 191; idem Marcellus. 6. ὁσίου Marcellus.

10 Χριστὸν ἐπισπέρχοντες ὁμόθροον ἴαχον αὐδήν·
ἐντεῦθεν μετάβηθι καὶ ὁππότε κῶμος ἑορτῆς,
σπεῦσον Ἰουδαίης ὁμοτέρμονα γαῖαν ὁδεύειν,
ὄφρα μεταστρέψαντες ἀπειθέα θυμὸν ἀλήτην
ἀρχαίην σέο πίστιν ἀνακτήσοιντο μαθηταί,
15 δερκόμενοι σέθεν ἔργα σοφῷ τετελεσμένα μύθῳ.
οὐ γάρ τις μερόπων ὑποκόλπιον ἔργον ὑφαίνει, 4
ἔργον ἀθηήτῳ κεκαλυμμένον ἀχλύι σιγῆς,
ἀμφαδίην δ' ἐθέλει θρασὺς ἔμμεναι. εἰ τάδε ῥέξεις,
ποικίλα θαύματα δεῖξον ὁρώμενα μάρτυρι κόσμῳ.
20 τοῖα μάτην ἀγόρευον ἀπειθέες οἷάπερ ἄλλοι· 5
Χριστοῦ παμμεδέοντος ἀδελφειοί περ ἐόντες
πίστιος ἀπλανὲς ἦθος ἀπηρνήσαντο καὶ αὐτοί.
καί σφιν ἄναξ ἀγόρευεν ἀμοιβαίῳ τινὶ μύθῳ· 6
οὔπω καίριος ἦλθεν ἐμὸς χρόνος, ὑμέτερος δὲ
25 πέπταται αἰὲν ἑτοῖμος, ἐλεύθερος. οὐ δύναται γὰρ 7
ζηλομανής ποτε κόσμος ἐθήμονι λαίλαπι λύσσης
ὑμέας ἐχθαίρειν· ἐμὲ δὲ στυγέει καὶ ἐλαύνει

καὶ οἱ μαθηταί σου θεωρήσωσίν σου τὰ ἔργα ἃ ποιεῖς· 4. οὐδεὶς γάρ τι ἐν κρυπτῷ ποιεῖ καὶ ζητεῖ αὐτὸς ἐν παρρησίᾳ εἶναι. εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν τῷ κόσμῳ. 5. οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. 6. λέγει *οὖν αὐτοῖς ὁ Ἰησοῦς· ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν· ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος. 7. οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς, ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ *ἐλέγχω αὐτόν, ὅτι τὰ ἔργα

---

13. λαὸν vulgo; ipse correxi. 18. ῥέξεις LVMaP ῥέξεις Pa et edd. ante Lugduni [illegible]

θαρσήεις, ὅτι μοῦνος ἀφειδέι μάρτυρι φωνῇ
ἠθάδος ἀμπλακίης ἐγκύμονα κόσμον ἐλέγχω,
30 ἔργα, τάπερ τελέει, βοόων ἀλλότρια θεσμῶν.
ὑμεῖς εὐκελάδοιο μετέλθετε κῶμον ἑορτῆς· 8
οὔπω ἐγὼ κλισίας νεοπηγέας ἄρτι γεραίρων
εἰς τελετὴν ὁσίην ἐπιβήσομαι. ἡμετέρου γὰρ
οὔπω μοι τετέλεστο χρόνου δρόμος. ὣς ὁ μὲν εἰπὼν 9
35 ἔστιχεν ἁγνὸν ἔδεθλον ἀκερσικόμων Γαλιλαίων.
γνωτοὶ δ' ὡς ἀνέβαινον ἐς ἱερόν, ὀψὲ καὶ αὐτὸς 10
ἔνθεον ἴχνος ἔκαμψεν ἐς ἀρτιχόρευτον ἑορτήν.
καί μιν Ἰουδαῖοι φιλίῃ μάστευον ἀνάγκῃ· 11
πῆ μοι ἔβη; ποῖ κεῖνος; ὑποτρύζοντι δὲ λαῷ 12
40 μυρίος ἔρρεε μῦθος ἀσιγήτων ἀπὸ λαιμῶν.
καὶ πολέες φθέγξαντο θερυδέα μάρτυρα φωνήν,
ὅττι σοφὸς τελέθει καὶ ὑπέρτερα θαύματα τεύχει.
ἄλλοι δ' ἀντερίδαινον ὁμογλώσσων ἀπὸ λαιμῶν·

αὐτοῦ πονηρά ἐστιν. 8. ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτήν· ἐγὼ *οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν * ὅτι ὁ ἐμὸς καιρὸς οὔπω πεπλήρωται. 9. ταῦτα *δὲ εἰπὼν αὐτὸς ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ. 10. ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ εἰς τὴν ἑορτήν, τότε καὶ αὐτὸς ἀνέβη, (οὐ φανερῶς, ἀλλὰ ἐν κρυπτῷ.) 11. οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν * καὶ ἔλεγον· ποῦ ἔστιν ἐκεῖνος; 12. καὶ γογγυσμὸς ἦν περὶ αὐτοῦ πολὺς ἐν τῷ ὄχλῳ. οἱ μὲν ἔλεγον ὅτι ἀγαθός ἐστιν· ἄλλοι δὲ ἔλεγον·

---

29. ἐλέγχων edd. ante Stephanum. 30. θεσμῶν LV θεσμῷ cet. et edd. 33. εἰς vulgo corr. Passow. cf. Ludwich Mus. Rhen. 35, 499. 34. τετέλετο L. 35. ἀκερσικόμων LP ἀκερσεκόμων cet. et edd. 36. εἰσ LV. 37. ἴχνος ἔκαμψαν ἄδηλον 'ou mieux encore': ἔνθεον ἴχνος ἔκευθεν Marcellus. fortasse ἄψοφον sive φώριον. 39. μοι om. Pa ποῦ κεῖνος Iuvenis. ὑποτρίζοντι V.

οὐ σοφός, οὐ σοφὸς οὗτος ἐτήτυμον· ἀγρομένου δὲ
45 λαοῦ κλεψινόοισι παραπλάζει φρένα μύθοις.
τοῖα μὲν ἀλλήλοισιν ὁμίλεον· ἀμφὶ δ' ἄρ αὐτοῦ 13
οὐ τότε τολμήσας τὶς ἀδειμάντῳ τινὶ φωνῇ
ἀμφαδίην ὀάριζεν ἐλεύθερα χείλεα λύσας,
τάρβος Ἰουδαίων πεφυλαγμένος. ὀψιφανὴς δὲ 14
50 ἤδη μυστιπόλοιο μέσην περὶ νύσσαν ἑορτῆς
Ἰησοῦς ἀνέβαινεν· ἐν εὐλάιγγι δὲ νηῷ
ἀγρομένων ἐδίδαξεν ὁμοζυγέων στίχα φωτῶν.
καί μιν Ἰουδαίων ἐπεθάμβεεν ἐσμὸς ἐχέφρων· 15
ἀλλήλοις δ' ὀάριζον ἀμοιβαδὶς ἄλλος ἐπ' ἄλλῳ·
55 αὐτόματος πόθεν οὗτος ἐρεύγεται ἔγγραφον αὐδήν;
γράμματα πῶς δεδάηκεν, ἃ μὴ μάθεν, ἴδμονι τέχνῃ;
γράμματα πῶς ἀδίδακτος ἐπίσταται; εἰρομένοις δὲ 16
θεσπεσίοις στομάτεσσιν ἄναξ ἠρεύγετο φωνήν·
οὐ διδαχὴ πολύιδρις ἐμὴ πέλεν, ἀλλὰ τοκῆος,
60 ὅστις ἐμὲ προέηκεν. ἀνὴρ δέ τις ἢν ἐθελήσῃ, 17
γνώσεται ἡμετέρης διδαχῆς χάριν, εἰ γενετῆρος

οὔ, ἀλλὰ πλανᾷ τὸν ὄχλον. 13. οὐδεὶς μέντοι παρρησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰουδαίων. 14. ἤδη δὲ τῆς ἑορτῆς μεσούσης ἀνέβη Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδασκεν. 15. ἐθαύμαζον οὖν οἱ Ἰουδαῖοι λέγοντες· πῶς οὗτος γράμματα οἶδεν μὴ μεμαθηκώς; 16. ἀπεκρίθη οὖν αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν· ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με *πατρός 17. ἐάν τις θέλῃ (τὸ θέλημα αὐτοῦ ποιεῖν,) γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ'

44. ἐτήτυμος Marcellus. 46. ἄρ' Iuvenis. αὐτῷ Ludwich Beitr. 20 et Mus. Rhen. 35. 503. 47. τίς L. 54. [illegible]

ἔστι τις οὐρανίη θεόθεν δόσις, ἠὲ καὶ αὐτὸς
φθέγγομαι ἐξ ἰδίων ὀάρων αὐτόσσυτον αὐδήν.
πᾶς βροτός, ὃς λέξειεν ἑὴν ὑψήνορα τιμὴν 18
65 ἐξ ἰδίης σοφίης ἐπιμάρτυρος αὐτὸς ἑαυτῷ,
μαστεύει βροτὸς οὗτος ἑὸν κλέος. ὃς δὲ τελέσσει
νεῦμα θεοῦ πέμψαντος, ἀναίτιος οὗτος ὁδεύει
οἶμον ἐτητυμίης, καὶ ἀτάσθαλον οὐδὲν ἐν αὐτῷ.
καί σφιν ἄναξ ἀγόρευεν ἀμοιβαδίς· οὐ πάρος ὑμῖν 19
70 Μωσῆς θεσμὸν ἔδωκε φόνου ποινήτορα φωτῶν;
καὶ πόθεν ὑψίστοιο θεοῦ λόγον ἥρπασαν αὖραι·
οὐδέ τις ὑμείων τελέει νόμον, ὅττι με μοῦνον
πάντες ἀποκτείνειν κρυφίῳ μαστεύετε πότμῳ.
καί οἱ λαὸς ἔλεξε· τεὸν νόον οἶστρος ἐλαύνει 20
75 δαίμονος ἠερίοιο· τίς ἱμείρει σε δαμάσσαι;
Ἰησοῦς δ' ἀγόρευε σοφὸν νόμον, ᾧ ἔπι λαοὶ 21
μυστιπόλῳ στεφανηδὸν ὑποκλέπτοντι προσώπῳ
ἄκρον ἀποτμήγουσι τελεσσιγόνου σκέπας αἰδοῦς·
ἓν μόνον ἔργον ἔρεξα, καὶ εὐσεβέος χάριν ἔργου

ἐμαυτοῦ λαλῶ. 18. ὁ ἀφ' ἑαυτοῦ λαλῶν τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτόν, οὗτος ἀληθής ἐστιν, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν. 19. οὐ *Μωσῆς *ἔδωκεν ὑμῖν τὸν νόμον; καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον· τί με ζητεῖτε ἀποκτεῖναι; 20. ἀπεκρίθη ὁ ὄχλος· δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι; 21. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν * · ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε.

---

62. τίσ L ἢ ἐγὼ αὐτὸς vulgo. Lehrs l. c. 270 'certum est, Nonnum ex more suo ἠὲ καὶ αὐτὸς scripsisse'. 64. ἑὴν om. Pa. 68. ἑαυτῷ Pa. 71. αὖραι Pa. 77. μυστιπόλοι Marcellus. προσώπῳ] σιδήρῳ Marcellus. 79. μοῦνον PPa corr. *Bordatus.*

80 πάντες ἐμοὶ μέμφεσθε τεθηπότες. οὔ χάριν ὑμῖν 22
Μωσῆς θεσμοφόροιο τομὴν παρέδωκε σιδήρου —
οὐχ ὅτι που Μωσῆος ἔην γέρας, ἀλλὰ τοκήων
ὑμετέρων δόσις ἔσκε — καὶ ἀρχεγόνῳ τινὶ θεσμῷ,
ἑβδομάτης ὅτε φέγγος ἐθήμονος ἔρχεται ἠοῦς,
85 ἀρτιγενῆ λοχίῳ περιτέμνετε φῶτα σιδήρῳ,
ἔννομα μὴ Μωσῆος ἀνέγγυα θεσμὰ λυθείη.
εἰ δὲ τομὴν ὁσίην δέχεται βροτὸς ἠθάδι χαλκῷ, 23
πάντες ἐμοὶ βαρύμηνιν ἐγείρετε κόμπον ἀπειλῆς,
εἰ πάλιν ὔμμιν ὅπασσα σεσηπότα κυκλάδι νούσῳ,
90 ὁππότε σάββατον ἦεν, ἐμῷ χραισμήτορι μύθῳ
ζωγρήσας ὅλον ἄνδρα καὶ οὐ τμητῆρι σιδήρῳ;
κρίνατε μὴ βροτέῃσι χάριν τίνοντες ὀπωπαῖς, 24
ἀλλὰ δίκην κρίνοντες ἀληθέι τάμνετε μύθῳ,
ὄφρα θέμιν χρονίοιο προτιμήσητε προςώπου.
95 καὶ ζαθέου τινὲς εἶπον ἀπ' ἄστεος Ἰροσολύμων· 25

---

22. ὁ *Μωσῆς *ἔδωκεν ὑμῖν τὴν περιτομήν — οὐχ ὅτι ἐκ τοῦ *Μωσέως ἐστίν, ἀλλ' ἐκ τῶν πατέρων, καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον. 23. εἰ *οὖν περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ ἵνα μὴ λυθῇ ὁ νόμος ὁ Μωσέως, ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; 24. μὴ *κρίνατε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν *κρίνετε. 25. ἔλεγον οὖν τινὲς *ἐξ Ἰεροσολύμων· οὐχ οὗτός ἐστιν, ὃν ζητοῦσιν

---

83. ἔσκεν καὶ ἀρχαιγόνω Pa. 85. ἀρτιγενεῖ MaPPa corr. Iuvenis. λογίῳ PPa φονίῳ vel λογίῳ Marcellus. 86. δεσμὰ

ἀτρεκὲς οὐ πέλεν οὗτος, ὃν ἰχνεύουσι δαμάσσαι
συμμιγέες ναετῆρες ἀλοιητῆρι σιδήρῳ;
ἠνίδε πῶς παλίνορσος ὅλῳ θηήτορι λαῷ 26
ἀμφαδίην ἀδόνητος ἐρεύγεται ἠθάδα φωνήν·
100 ἦ ῥα θεογλώσσων μερόπων ἀίοντες ἰωὴν
ἄστεος ἡγεμονῆες, ἐμοὶ δεδάασι πολῖται,
Χριστὸς ὅπως πέλεν οὗτος; ἄναξ δ' ὅτε Χριστὸς
ἱκάνει, 27
οὔ τις ἀνὴρ δεδάηκε, πόθεν πέλεν· ἴστε δὲ τοῦτον.
Ἰησοῦς δ' ἰάχησεν ἐν ἀργυροφεγγέι νηῷ· 28
105 ἴστε περισσονόῳ καὶ ἐμὲ ξυνήονι μύθῳ,
ἴστε καί, ὁππόθεν εἰμί, καὶ εἰ τόδε κεύθετε σιγῇ.
οὐδὲ γὰρ αὐτοκέλευστος ἐς ὑμέας ἐνθάδε βαίνω,
ἀλλὰ πατὴρ ἐμός ἐστιν ἀληθινός
— — — — — — — — — —
αὐτὰρ ἐγὼ μάλα τοῦτον ἐπίσταμαι, ὅττι παρ' αὐτοῦ 29

ἀποκτεῖναι; 26. * ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσιν. μήποτε * ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ὁ Χριστός; 27. ἀλλὰ τοῦτον οἴδαμεν, πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει, πόθεν ἐστίν. 28. ἔκραξεν οὖν ἐν τῷ ἱερῷ διδάσκων ὁ Ἰησοῦς καὶ λέγων· κἀμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί· καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα. ἀλλ' ἔστιν ἀληθινὸς (ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε·) 29. ἐγὼ οἶδα αὐτόν, ὅτι παρ' αὐτοῦ *ἐλήλυθα, κἀκεῖνός με

---

98. ἠ νῖδε V ἦν ἴδε Ma. 101. ἐμοὶ] ὁμοῦ Marcellus; idem πολίταις. 103. lacunam subesse suspicatus est Koechly de paraphr. 8. 104. ἀργυροφέγγεϊ ante Iuvenem. 105. cf. Tiedke I 9. 106. εἰμί supra Pa κεύθεταῖ L. 107. αὐτοκέλευστον V. 108. ἀληθινὸς εἵνεκα πομπῆς vulgo. οὕνεκα Hermann cens. 997; idem lacunam indicavit; quem secutus est Koechly de paraphr. 8. 109. τοῦτο L.

110 αὐτὸς ἔβην, καὶ ἐκεῖνος ἐμὲ προέηκεν ἱκάνειν.
καί τινες οἰστρηθέντες ἐπεσσεύοντο πιέζειν 30
Ἰησοῦν παλάμῃσιν ἀφειδέσιν· οὐδέ τις αὐτῶν
χεῖρας ἑὰς δασπλῆτας ἐπήγαγεν, ὅττι οἱ αὐτὴ
οὔπω πατρόθεν ἦλθε θελήμονι φοίνιος ὥρη.
115 καὶ πολέες πίστευον ἀγειρομένων τότε λαῶν· 31
Ἰησοῦν δ' ἐγέραιρον ὁμοφθόγγῳ τινὶ μύθῳ·
μὴ γὰρ Χριστὸς ἄναξ λαοσσόος, εἴποθεν ἔλθῃ,
ἔργων, ὧν κάμεν οὗτος, ὑπέρτερα θαύματα ῥέξει
λυσιπόνοις στομάτεσσι; πολυγλώσσοιο δὲ λαοῦ 32
120 μεμφομένην ἀχάλινον ὑποτρύζοντος ἰωὴν
ἔκλυε λαὸς ἄπιστος ἁμαρτινόων Φαρισαίων·
καὶ φθονεροὶ προΐαλλον ὀπάονας ἀρχιερῆες
Ἰησοῦν ἀκίχητον ἀφειδέι χειρὶ πιέζειν.
καί σφιν ἄναξ ἀγόρευεν ἀσημάντῳ τινὶ μύθῳ 33
125 θεσπίζων ταχύποτμον ἑὴν αὐτάγρετον ὥρην·
ὑμείων ἔτι βαιὸν ἐπὶ χρόνον ἐγγύθι μίμνω

ἀπέστειλεν. 30. ἐζήτουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν *τὰς χεῖρας, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. 31. πολλοὶ δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν εἰς αὐτόν, καὶ ἔλεγον· ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει, ὧν οὗτος *ἐποίησεν; 32. ἤκουσαν *οὖν οἱ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα, καὶ ἀπέστειλαν ὑπηρέτας οἱ ἀρχιερεῖς (καὶ οἱ Φαρισαῖοι), ἵνα πιάσωσιν αὐτόν. 33. εἶπεν οὖν ὁ Ἰησοῦς *αὐτοῖς· ἔτι χρόνον μικρὸν μεθ' ὑμῶν εἰμί, καὶ

---

114. οὗτω Pa ἦλθεν Pa φόνιος P; corr. Bogardus. 115. τότε]

καὶ ταχὺς ἵξομαι αὖτις ἐμῷ πέμψαντι τοκῆι.
καί με παλιμπετέες μαστεύετε· μαιόμενοι δὲ 34
οὐκ ἂν ἐφευρήσητε, καὶ οὐ σθένος ἐστὶ περῆσαι
130 ὑμέας ἴχνος ἄγοντας ἐς ἀτραπόν, ἧνπερ ὁδεύσω.
ἀλλήλοις δ' ὀάριζον ὁμιλαδὸν αὐτόθι λαοί· 35
πῇ μέλλει μετὰ βαιὸν ἀπόσσυτος οὗτος ἱκάνειν;
μὴ σπεύδει περίφοιτος ἐς ἄστεα γείτονα βαίνειν,
ἦχι Πανελλήνων σποράδες στίχες, ὄφρα καὶ αὐτῶν
135 θεσμὸν ἑῆς σοφίης Ἑλλήνια τέκνα διδάξῃ;
τίς δὲ πέλει λόγος οὗτος, ὃν ἔννεπε μάρτυρι λαῷ; 36
πολλά με μαστεύσητε παλίνδρομον ὀψὲ νοῆσαι,
οὐδὲν ἐφευρήσητε, καὶ οὐ θέμις, ὁππόθι βαίνω,
ὑμέας ἱμείροντας ἀνέμβατον οἶμον ὁδεύειν.
140 ἀλλ' ὅτε λοίσθιον ἦλθε χοροστάδος ἦμαρ ἑορτῆς, 37

ὑπάγω πρὸς τὸν πέμψαντά με. 34. *ζητεῖτέ με καὶ οὐχ εὑρήσετε καὶ ὅπου *εἶμι ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. 35. εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς *ἀλλήλους· ποῦ μέλλει οὗτος πορεύεσθαι * ; μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι καὶ διδάσκειν τοὺς Ἕλληνας; 36. τίς ἐστιν ὁ λόγος οὗτος ὃν εἶπεν· ζητήσετέ με καὶ οὐχ εὑρήσετε, καὶ ὅπου *εἶμι ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν; 37. ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ * τῆς ἑορτῆς εἱστήκει ὁ Ἰησοῦς, καὶ ἔκραξεν λέγων· ἐάν τις διψᾷ, ἐρχέσθω *πρὸς

127. ἱξόμενος ταχὺς αὖθις Lehrs l. c. 271. αὖθις vulgo; ipse correxi cf. Wernicke ad Tryph. 380 et Hermann cens. 999. 128. μαστεύσετε Bordatus. 129. οὔ κεν Passow. ἐφευρήσητε L V ἐφευρήσαιτε cet. et edd. 132. οὗτος om. Ma P Pa in P marg. adscriptum est alt. man. 134. σπορύδες V αὐτῶν L V Ma αὐτὸν cet. et edd. αὐτοῦ Hermann cens. 996. αὐτὰ Marcellus. 135. θεσμὸσ L θεσμοὺς V ἑλλένια Pa τέκνα om. V Ma (hic spatio relicto). 138. οὐδὲν L V κοὐδὲν cet. et edd.; οὐδέ μ' coni. Hermann cens. 997; eum secutus est Lehrs l. c. 259. refutavit Ludwich Beitr. 17, qui οὐδέ κεν εὑρήσαιτε voluit. ὁππότε L. 140. λοίσθιος V ad h. v. in marg. ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρα τῇ

Χριστὸς ἄναξ ἔστηκε λιθώδεος ἐγγύθι νηοῦ·
Ἑβραίοις δ' ἰάχησε χέων πανθελγέα φωνήν·
εἴ τις δίψαν ἔχει θυμοφθόρον, εἰς ἐμὲ βαίνων
πηγῆς ἡμετέρης πιέτω ψυχοσσόον ὕδωρ.
145 πᾶς γὰρ ὁ πίστιν ἔχων σόος ἔσσεται. ἀρχέγονος δὲ 38
οἷα θεοῦ φάτο μῦθος· ἀεὶ διὰ γαστρὸς ἐκείνου
ἔμφρονες αὐτοχύτῳ ποταμοὶ ζώοντι ῥεέθρῳ
ἐνδόμυχον βλύσσουσι παλιμφυὲς ἔνθεον ὕδωρ.
εἶπε προθεσπίζων ἐπιδήμιον ὄψιμον αἴγλην 39
150 πνεύματος, οὗπερ ἔμελλε τυχεῖν θεοδέγμονι θυμῷ
πᾶσα πολυσπερέων μερόπων πεισθεῖσα γενέθλη·
οὔπω γὰρ βροτέῃσιν ἐνερρίζωτο μενοιναῖς
— — — — — — — — — —
Χριστὸς ἄναξ γενέταο φανεὶς ἀγχίθρονος ἕδρης.
πολλοὶ δ' εἰςαΐοντες ὁμοφραδέων τότε λαῶν 40
155 χείλεσι πιστοτάτοισι πολύστομον ἔβρεμον ἠχώ·
οὗτος, ὃν ἔγραφε βίβλος, ἐτήτυμός ἐστι προφήτης.
οἱ δὲ διχοστασίης ἀδαήμονες εἶχον ἀοιδήν· 41
Χριστὸς ἄναξ πέλεν οὗτος. ἁμιλλητῆρι δὲ μύθῳ

ἐμὲ καὶ πινέτω. 38. ο πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. 39. τοῦτο δὲ εἶπεν περὶ τοῦ πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ *πιστεύσαντες εἰς αὐτόν· οὔπω γὰρ ἦν πνεῦμα δεδομένον, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη. 40. ἐκ τοῦ ὄχλου οὖν ἀκούσαντες * ἔλεγον· οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης· 41. ἄλλοι ἔλεγον· οὗτός ἐστιν ὁ Χριστός· ἄλλοι ἔλε-

---

μεγάλῃ τῆς ἑορτῆς Ma. 142. πενθαλγέα L V. 147. ζώοντι

ἄλλοι θεσμοφόρων στομάτων πετάσαντες ὀχῆας
160 θέσφατα μυθήσαντο σοφῇ κεχαραγμένα βίβλῳ·
μὴ γὰρ ἁλικρήπιδος ἐλεύσεται ἐκ Γαλιλαίης
Χριστὸς ἄναξ; οὐ τοῦτο θεηγόρος ἔννεπεν ὀμφή· 42
Δαβὶδ ἀρχεγόνου βασιλήιον αἷμα κομίζων
Χριστὸς Ἰουδαίοισι φανήσεται αὐτὸς ἀκούων,
165 πατρίδος, ὁππόθι δῶμα λυροκτύπος ᾤκεε Δαβίδ,
Βηθλεὲμ μηλοβότοιο. μεριζομένοιο δὲ λαοῦ 43
ἀμφιλαφὴς διχόμητις ἔην ἔρις. ἀπροϊδεῖς δὲ 44
ἀφραδέες τινὲς ἄνδρες ἐπειρήσαντο πιέζειν
Ἰησοῦν ἀδίκων ὑπὸ νεύμασι δημογερόντων.
170 ἀλλά μιν οὔ τις ἔμαψεν, ἐπεὶ πυμάτη πάλιν αὐτῷ
οὔπω ἐπιτρέψαντι παρίστατο λοίγιος ὥρη.
καὶ πινυτοὶ νόστησαν ἐς ἀντιθέους ἱερῆας 45
θαμβαλέοι θεράποντες· ἐμυθήσαντο δὲ κεῖνοι·
τίπτε μιν οὐ κομίσασθε; καὶ ἔννεπον ἔμφρονι μύθῳ 46

γον· μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; 42. οὐχὶ ἡ γραφὴ εἶπεν ὅτι ἐκ τοῦ σπέρματος Δαυεὶδ καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαυείδ, ὁ Χριστὸς ἔρχεται; 43. σχίσμα οὖν ἐγένετο ἐν τῷ ὄχλῳ δι' αὐτόν· 44. τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν, ἀλλ' οὐδεὶς ἔβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας, *ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. 45. ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς * καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· διὰ τί οὐκ ἠγάγετε αὐτόν; 46. ἀπεκρίθησαν οἱ ὑπηρέ-

---

163. δαυίδ δ' Ma Δαβὶδ δ' PPa et edd. 169. ἰησοῦν δ' ἀδίκων L ἀδίκῳ cet. et edd. cf. Wernicke ad Tryph. 488 et Hermann cens. 997. πνεύματι vulgo; corr. Nansius cf. Tiedke I 44 et quod ipse Q. N. I 27 de hoc loco disserui. idem Marcellus. δημογερόντων δημογεροόντων V δημογερούντων in ras. Ma δημογερούντων PPa. 171. λόγιος P corr. Bogardus. 173. δὲ κεῖνοι codices. δ' ἐκεῖνοι edd. cf. Ludwich Mus. Rhen. 35, 502. 174. κομίσεσθε Pa.

175 ἀπλανέες δασπλῆτος ὑποδρηστῆρες ἀνάγκης·
οὐχ οὕτω βροτὸς ἄλλος ἴσην ἐφθέγξατο φωνήν.
καὶ θρασὺς εἶπεν ὅμιλος ἀκηλήτων Φαρισαίων· 47
μὴ σφαλεραῖς πραπίδεσσι παρεπλάγχθητε καὶ ὑμεῖς
πειθόμενοι κείνοιο νοήμασι; μή τις ἐς αὐτὸν 48
180 ἡγεμόνων πίστευσεν ἢ ἀγχινόων Φαρισαίων,
εἰ μὴ δήιος οὗτος ἀτάσθαλος ἐσμὸς ἀλήτης, 49
ὃς νόμον ἀγνώσσων βακχεύεται ἔμπλεος ἀρῆς;
ἀφνειῇ δὲ φάλαγγι χέων νεμεσήμονα φωνὴν 50
ἀγχιφανὴς Νικόδημος ἀμείβετο πάντας ἐλέγχων·
185 μὴ γὰρ Ἰουδαίων νόμος ἔνθεος ὀξέι θυμῷ 51
οἶδε κατακρίνειν, εἰ μὴ πάρος ἀνδρὸς ἀκούων
φθεγγομένου κρίνειε δικασπόλος ἴδμονα φωνήν,
ἔργα τάπερ τελέει νοέων ὑπὸ μάρτυρι μύθῳ;
καὶ χορὸς ἀντιάχησε θεμιστοπόλων Φαρισαίων 52
190 μεμφόμενος Νικόδημον ἀμεμφέα· μὴ σὺ καὶ αὐτὸς
αἷμα φέρεις Γαλιλαῖον; ἀμοιβάδα βίβλον ἑλίσσων
ἕζεο μαστεύων, καὶ γνώσεαι, ὅττι προφήτης
οὔπω ποικιλόμυθος ἐγείρεται ἐκ Γαλιλαίης.

ται· οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος * . 47. ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι· μὴ καὶ ὑμεῖς πεπλάνησθε; 48. μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν ἢ ἐκ τῶν Φαρισαίων; 49. ἀλλὰ ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον ἐπάρατοί εἰσιν. 50. λέγει Νικόδημος πρὸς αὐτούς * , 51. μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ πρῶτον παρ' αὐτοῦ καὶ γνῷ τί ποιεῖ; 52. ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ· μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; ἐρεύνησον καὶ ἴδε ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγείρεται.

ΚΕΦ. Θ.

Ἰησοῦς δ' ἀγόρευε χέων λαοσσόον αὐδήν· 12
εἰμὶ φάος κόσμοιο λιπαυγέος· ὃς δέ μοι ἀνὴρ
πιστὸν ὁμαρτήσειεν ἔχων νόον, οὔποτε βαίνει
ποσσὶν ἀλωομένοις σκιοειδέα κῶνον ὀμίχλης,
5 ἀλλὰ καταυγάσσειεν ἔχων ὁμόφοιτον ἑαυτῷ
ζωῆς ἀπλανέος φάος ἔμπεδον. ἀπτοεπὴς δὲ 13
λαὸς Ἰουδαίων ἐπεβόμβεε θυιάδι φωνῇ·
μαρτυρίην ἰδίην ἐνέπεις ὑψαύχενι μύθῳ·
μάρτυρος οὐ σέο μῦθος ἐτήτυμος. εἶπε καὶ αὐτὸς 14
10 γλώσσης ἀενάοιο θεόρρυτον ὄμβρον ἰάλλων·
εἰ καὶ μαρτυρίῃσιν ἐμὸν κλέος αὐτὸς ἀέξω,
ἀψευδὴς πέλε μάρτυς ἐμὸς λόγος· ἀμφότερον γὰρ
μοῦνος ἐγὼ νοέω, πόθεν ἤλυθον ἢ πόθι βαίνω.
ὑμεῖς δ' οὐκ ἐδάητε, πόθεν γενόμην, πόθεν ἔστην.

---

12. *Πάλιν οὖν αὐτοῖς ἐλάλησεν ὁ Ἰησοῦς λέγων· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς.* 13. *εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι· σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής.* 14. *ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα πόθεν ἦλθον *ἢ ποῦ ὑπάγω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν*

---

1. *λείπει ὧδε περὶ τῆς μοιχευομένης γυναικός* Ma. 3. *βαίνοι* Marcellus. 5. *καταυγάζειεν* vulgo; corr. Nansius; cf. Hermann cens. 997. Rigler IV 14 *ἐν αὐτῷ* (*ἑαυτῷ* Pa) vulgo; ipse correxi Z. f. d. ö. G. 1878 p. 817. 6. *ἀπτοεπὴς* L. 7. *ἐπεμβόβεε* Pa *θυιάδι* L *θυάδι* cet. et edd. corr. Passow. 10. *ἀεννάοιο* V. 11. *ἑαυτος* Pa. 12. *γὰρ* VL (in hoc fere legi nequit) *δὲ* cet. et edd. 13. *πόσε* Ma *πόθι* PPa. 14. om VMa nec non P, in quo vers. alt. man. in marg. adscriptus est.

15 ὑμεῖς εἰςορόωντες ἐμὴν βροτοειδέα μορφὴν 15
ἀνδρομέην κατὰ σάρκα δικάζετε νήιδι μύθῳ·
οὔ τινα μὲν κρίνοιμι θεμιστοπόλον στόμα λύσας.
εἰ δ' ἄρα καὶ κρίνοιμι δίκην ἰθεῖαν ὁρίζων, 16
νημερτὴς καὶ ἄμεμπτος ἐμὴ κρίσις· οὐ γὰρ ἐλέγχων
20 εἰμὶ μόνος, μεθέπω δὲ καὶ ὑψιμέδοντα τοκῆα
ξυνὸν ἐμὸν συνάεθλον. ἐν ὑμετέροισι δὲ θεσμοῖς 17
ἔστι θεογλώσσῳ κεχαραγμένον ἔμφρονι βίβλῳ·
μαρτυρίη διδύμων ἐτυμόθροος ἔπλετο φωτῶν.
πιστὸς ἐγὼ γενόμην ἐπιμάρτυρος αὐτὸς ἐμαυτῷ, 18
25 ξυνὴν μαρτυρίην καὶ ἐμὸς γενέτης ἀγορεύει.
Ἑβραῖοι δ' ἐρέεινον ἀμοιβαίῳ τινὶ μύθῳ· 19
τίς πέλεν, ὅς σε φύτευσε πατὴρ τεός; εἶπε καὶ αὐτός·
ἀμφοτέρους οὐκ ἴστε μιῇ δυςπειθέι βουλῇ,
οὔτε με παῖδα μολόντα καὶ οὐ πέμψαντα τοκῆα.
30 εἰ δέ με γινώσκοντες ἐπιστώσασθε μενοινήν,

ἔρχομαι ἢ ποῦ ὑπάγω. 15. ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα. 16. καὶ ἐὰν κρίνω δὲ ἐγώ, ἡ κρίσις ἡ ἐμὴ ἀληθινή ἐστιν, ὅτι μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ καὶ ὁ *πατήρ. 17. καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γεγραμμένον ἐστίν ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν· 18. ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ *πατήρ. 19. ἔλεγον οὖν αὐτῷ· ποῦ ἔστιν ὁ πατήρ σου; ἀπεκρίθη Ἰησοῦς. οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου· εἰ

---

15. ὑμεῖσ δ' L. 16. θυμῷ? 21. γρ. ἀν συνάεθλον PPa ὑμετέροισι L. 23. ἑτερόθροος vulgo, corr. Iuvenis. ἑτεόθροος

καί κεν ἀνεφράσσασθε καὶ ἡμέτερον γενετῆρα.
κοίρανος ἔννεπε ταῦτα διδάγματα θέσκελα λαῷ, 20
γαζοφύλαξ ὅθι χῶρος ἀκούεται, ὁππόθι πολλοὶ
ποικίλα δῶρα φέροντες ἐπεστείχοντο πολῖται.
35 οὐδέ τις αὐτὸν ἔμαρψεν, ἐπεὶ θανατηφόρον αὐτῷ
οὔπω λοίσθιον ἦλθε θεόσσυτον ἴχνιον ὥρης.
καί μιν ἄναξ ἀγόρευεν· ἐμὴν ὁδὸν αὐτὸς ὁδεύσω, 21
ὑμεῖς δ' ἀφραδέεσσιν ἐν ἤθεσι πάντες ἀλῆται
ῥιγεδανὴν μετὰ γῆρας ἐραθρήσητε τελευτὴν
40 ἀμπλακίῃ μεθέποντες ὁμήλικα λευκάδα χαίτην.
ἦχι δὲ πουλυέλικτον ἐμοῦ ποδὸς ἴχνος ἐπείγω,
ὑμέας οὐ σθένος ἐστὶ μολεῖν διζήμονι ταρσῷ·
καὶ θρασὺς Ἑβραίων κυμαίνετο λαὸς ἀκούων, 22
ἄφρονα λωβητῆρι χέων ῥόον ἀνθερεῶνι.
45 ἦ ῥα θανεῖν ἐθέλει βρόχιον μόρον ἢ ξίφος ἕλκων
αὐτοφόνῳ διὰ γαστρὸς ὁμιλήσειεν ὀλέθρῳ;

ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ἂν ᾔδειτε. 20. ταῦτα τα ῥήματα ἐλάλησεν ἐν τῷ γαζοφυλακίῳ διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐδεὶς ἐπίασεν αὐτόν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. 21. εἶπεν οὖν * αὐτοῖς· ἐγὼ ὑπάγω, (καὶ ζητήσετέ με,) καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε· ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. 22. ἔλεγον οὖν οἱ Ἰουδαῖοι· μήτι ἀποκτενεῖ ἑαυτόν, (ὅτι λέγει· ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύ-

---

31. ἂν ἐφράσσασθε (ἐφράσασθε V) vulgo. corr. Passow. cf. Wernicke ad Tryph. 360; vulgatam defendit Hermann cens.

997. 36. ἴχνιος Ma ἴχνιοῦ Pa. 37. μιν L V σφιν cet. et edd. ὁδεύω Marcellus. 40. ἀμπλακίην Pa. 41. παιδὸς in marg. alt. m. πο P παιδὸς Pa corr. Iuvenis. 44. 45. ἄφρονα λωβητῆρι χέων ῥόον ἢ ξίφος ἕλκων L. 46. ὁλισθήσειεν?

Ἰησοῦς δ' ἐπέτασσε θεηγόρον ἀνθερεῶνα 23
μῦθον ἁμιλλητῆρα χέων λωβήτορι λαῷ·
ὑμεῖς νερτερίοιο κατήλυδές ἐστε βερέθρου·
ἐστὲ κάτω· καὶ ἄνωθεν ἐγὼ πέλον. ἐστὲ δὲ τούτου
ὑμεῖς οὐτιδανοῖο γενέθλια πήματα κόσμου,
ἐκ χθονὸς αἷμα φέροντες· ἐγὼ δ' ἐν ἀτέρμονι τιμῇ
ξεῖνος ἔφυν κόσμοιο καὶ οὐ βροτὸν οἶδα τοκῆα·
ξεῖνος ἐγὼ κόσμοιο καὶ αἰθέρος εἰμὶ πολίτης.
ἀλλ' ὑμῖν ἀγόρευον, ὅτι φθαμένῳ τινὶ πότμῳ 24
εἰςέτι μαργαίνοντες ὁμιλήσητε βερέθρῳ
ἀμπλακίην μεθέποντες ὁμόχρονον· ἀτρεκέως δὲ
εἰ μὴ ἐμὲ γνώσεσθε, τίς ἢ τίνος εἰμὶ τοκῆος,
θνήσκετε δυςσεβίης ἐγκύμονες. ὑψινόων δὲ 25
λαὸς Ἰουδαίων φιλοπευθέα ῥήξατο φωνήν·
τίς σὺ πέλεις; καὶ Χριστὸς ἀνίαχεν· ὅττι περ ὑμῖν
ἐξ ἀρχῆς ὀάριζον, ἔχων νήριθμα δικάζειν 26

νασθε ἐλθεῖν;) 23. καὶ ἔλεγεν αὐτοῖς· ὑμεῖς ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ, ἐγὼ οὐκ εἰμι ἐκ τοῦ κόσμου τούτου. 24. εἶπον οὖν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. 25. ἔλεγον οὖν αὐτῷ· σὺ τίς εἶ; εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· τὴν ἀρχὴν ὅ τι καὶ λαλῶ ὑμῖν· 26. πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν· ἀλλ' ὁ πέμψας με ἀληθής ἐστιν, κἀγὼ ἃ ἤκουσα παρ'

---

47. ἐπέτασε V. 48. λωβήτορι L λωβητῆρι cet. et edd. corr. Iuvenis. 49. νερτέροιο VP corr. Bordatus. 51. γενέθλῆν PPa.

καὶ λαλέειν. ἀλλ' ἔστιν ἐτήτυμος, ὅς με γενέθλῃ
ἀνδρομέῃ προέηκε· καὶ ἀτρεκὲς ὅσσα περ αὐτοῦ
65 ἔκλυον, ἔμπεδα πάντα διέρχομαι ἄφρονι κόσμῳ.
λαοὶ δ' οὐκ ἐνόησαν, ὅτι σφίσιν εἶπε τοκῆα. 27
Ἰησοῦς δ' ἀπάμειπτο θεηγόρα χείλεα λύσας· 28
ὁππόταν εὐαγέεσσιν ἀνυψώσητε μενοιναῖς
ἀνθρώπου σοφὸν υἷα, τότε γνώσεσθε καὶ αὐτοί,
70 ὅττι θεοῦ γενετῆρος ἀπόπροθεν οὐδὲν ὑφαίνω,
ἀλλά μοι ὡς ἐπέτελλε πατὴρ ἐμός, εἰςέτι ῥέζω,
ὅττι καὶ ὑψιμέδων γενέτης μετ' ἐμεῖο φαείνει, 29
οὐδέ με μοῦνον ἔλειπεν, ἐπεὶ πεφυλαγμένα ῥέζω
εἰς χρόνον ἐμπεδόκυκλον ἐαδότα πάντα τοκῆι.
75 ταῦτα δέ οἱ βοόωντι πολυσπερέων στίχες ἀνδρῶν 30
πίστιος ἀρρήκτοισιν ὑπεκλίνοντο λεπάδνοις.
Ἰησοῦς δ' ἀγόρευεν ἔπος νεοπειθέι λαῷ· 31
αἴ κεν ἐμοὶ πείθησθε, κυβερνητῆρι δὲ μύθῳ
ἡμετέρῳ μίμνητε, τότε γνώσεσθε καὶ αὐτοὶ 32

αὐτοῦ, ταῦτα λαλῶ εἰς τὸν κόσμον. 27. οὐκ ἔγνωσαν *δὲ ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν. 28. εἶπεν οὖν ὁ Ἰησοῦς· ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι, καὶ ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν, ἀλλὰ καθὼς ἐδίδαξέν με ὁ πατήρ, ταῦτα λαλῶ. 29. καὶ ὁ (πέμψας με) *πατὴρ μετ' ἐμοῦ ἐστιν· οὐκ ἀφῆκέν με μόνον, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε. 30. ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν. 31. ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, (ἀληθῶς μαθηταί μου ἐστέ, 32. καὶ) γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευ-

---

63. λαλιήν L γενέθλην Pa ἔστιν om. edd. corr. Iuvenis. cf. Ludwich Beitr. 24. 64. ἀτρεκὲς supra Ma. 68. ὁππότ' ἂν V ἐναγέεσσιν Marcellus (!). 70. ἀπόπροσθεν V. 71. ὥσ L ὡς ἔτι φάσκω Marcellus.

80 οἶμον ἀληθείης θεοτερπέος· ἀτρεκίη δὲ
ὑμῖν πειθομένοισιν ἐλεύθερον ἦμαρ ὀπάσσει.
Ἑβραῖοι δ' ἰάχησαν ὁμογλώσσῳ τινὶ μύθῳ· 33
Ἀβρὰμ ἀρχεγόνοιο ῥυηφενέος γενετῆρος
ἡμεῖς αἷμα φέροντες ἀδέσποτον, οὔ τινος ἀνδρῶν
85 αὐχένα δοχμώσαντες ἐδουλώθημεν ἱμάσθλῃ.
καὶ πόθεν ἄμμιν ἔειπες, ἐλεύθεροί ἐστε θανόντες,
ἀτρεκίης τ' ἀχάλινον ἐςαθρήσητε γαλήνην.
Ἰησοῦς δ' ἐδίδαξεν ὑπέρβιον ἐσμὸν ἐλέγχων· 34
πᾶς βροτὸς ἀμπλακίην τελέων ἀεσίφρονι θυμῷ,
90 ἀμπλακίης πέλε δοῦλος. ἐν ἀθανάτῳ δὲ μελάθρῳ 35
δοῦλος ἀλιτροσύνης αἰώνιος οὔποτε μίμνει
ναιετάων· μίμνει δὲ φερέσβιος υἱὸς ἀμύμων
ναίων πάτριον οἶκον, ἕως χρονίῃ παρὰ νύσσῃ
ἱππεύων ἀκίχητος ἑλίσσεται ἔμπεδος αἰών.
95 εἰ δέ κεν ὑμείων ἐλάσας δούλειον ἀνάγκην 36
υἱὸς ἐλευθερίοισι κόμην στέψειε πετήλοις,
ἀμπλακίης ῥίψητε παλίλλυτα δεσμὰ λεπάδνων

θερώσει ὑμᾶς. 33. ἀπεκρίθησαν πρὸς αὐτόν *οἱ Ἰουδαῖοι· σπέρμα Ἀβραάμ ἐσμεν καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε· πῶς σὺ λέγεις ὅτι ἐλεύθεροι γενήσεσθε; 34. ἀπεκρίθη αὐτοῖς Ἰησοῦς· (ἀμήν, ἀμὴν λέγω ὑμῖν) ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστιν τῆς ἁμαρτίας· 35. ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα. ὁ υἱὸς μένει *ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· 36. ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε.

---

83. 84. inverso ordine leguntur LV nec non Ma, in quo literis α' β' γ' in margine adpositis rectus ordo indicatus est. Ἀβραὰμ vulgo; corr. Hermann cens. 997. 84. τίνος L.

ἦμαρ ἐλευθερίης πανετήτυμον ὀψὲ λαχόντες.
Ἀβράμ ἐστε γένεθλα σαόφρονος, οἶδα καὶ αὐτός, 37
100 ἀλλά με λαθριδίῳ κτανέειν μαστεύετε πότμῳ·
οὐ γὰρ ἐμός ποτε μῦθος ἐς ὑμετέρην φρένα δύνει.
Ἑβραῖοι δ' ἰάχησαν ἀμοιβαίῳ τινὶ μύθῳ· 39
ἡμείων γενέτης τελέθει πρωτόσπορος Ἀβράμ·
Ἰησοῦς δ' ἀπάμειπτο χέων ἀντίκτυπον ὀμφήν·
105 ὑμέας εἰ σοφὰ τέκνα φυτοσπόρος ἤροσεν Ἀβράμ,
καί κεν ἐποιήσασθε θεουδέος ἔργα τοκῆος
Ἀβρὰμ ξεινοδόκοιο. θεημάχος ἐστὲ γενέθλη, 40
εἰ φονίας δολόεντι μιαίνετε χεῖρας ὀλέθρῳ.
ἔργοις ἀντιτύποισιν ἐπιστώσασθε γενέθλην.
110 Ἀβρὰμ οὐ μενέαινεν ἀναίτιον ἄνδρα δαμάσσαι,
Ἀβρὰμ οὐ κάμε τοῦτο θεοστυγές. ἀλλά που ὑμεῖς 41

---

37. οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν. (38. ἐγὼ ἃ ἑώρακα παρὰ τῷ πατρὶ λαλῶ· καὶ ὑμεῖς οὖν ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς ποιεῖτε.) 39. ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ· ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν. λέγει αὐτοῖς ὁ Ἰησοῦς· εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε *ἄν. [40. νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ θεοῦ·] τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν. 41. ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. εἶπον *οὖν αὐτῷ· ἡμεῖς ἐκ πορνείας οὐκ *ἐγεννήθημεν, ἕνα πα-

---

99. cf. ad v. 83. ἐστὲ VPa ἐστὶ cet. et edd. 101. lacunam indicavit Koechly de par. 8. 103. ἀβράμ L Ἀβραάμ V πρωτοσπόρος Iuvenis. 105. ἀβράμ L Ἀβραάμ V. 107. αβρὰμ L. ἀβραάμ cet. et edd. ξενοδόκοιο PPa corr. Iuvenis. ἐστὶ Pa γενέθλῃ V. lacunam indicavit Koechly de par. 8. 109. ἀπιστώσασθε Marcellus. 110. αβρὰμ L δαμάσαι V. 111. αβρὰμ L ἄδν P πως A corr. Iuvenis.

ἔργα δολορραφέος μενεαίνετε πατρὸς ὑφαίνειν.
καὶ θρασὺς Ἑβραίων πάλιν ἔννεπε λαὸς ἀκούων·
ἡμεῖς οὐ γενόμεσθα νόθης ἀπὸ μαχλάδος εὐνῆς,
115 ἀλλὰ θεὸν μόνον ἴδμεν ἕνα ζώοντα τοκῆα.
Ἰησοῦς δ' ἀίοντι πάλιν μυθήσατο λαῷ· 42
εἰ θεὸς ὑμείων γενέτης πέλεν αἰθέρα ναίων,
καί κεν ἐμὲ ξύμπαντες ἑνὸς γεγαῶτα τοκῆος,
ἀρραγέος φιλίης ἀλύτῳ ξυνώσατε δεσμῷ·
120 καὶ γὰρ ἐγὼ θεόθεν πεφορημένος ἐνθάδε βαίνω·
καὶ πόθεν οὐ θεόμητιν ἐμὴν γινώσκετε φωνήν; 43
ὑμέας οὐ σθένος ἐστὶν ἐμόν ποτε μῦθον ἀκούειν·
ὑμεῖς δήια τέκνα δυςαντέος ἐστὲ τοκῆος, 44
δαίμονος ἀντιπάλοιο, ποθοβλήτους τε μερίμνας
125 πατρὸς ἀερσινόου μενεαίνετε πάντες ἀνύσσαι.
αἰεὶ κεῖνος ἔην ἀνδροκτόνος, ἐξότε κόσμου
ἐξ ἀρχῆς τετέλεστο θεμείλιον· οὐδ' ἐνὶ θεσμῷ
μίμνεν ἀληθείης θεοπειθέος· οὐ γὰρ ἐν αὐτῷ

τέρα ἔχομεν τὸν θεόν. 42. εἶπεν *οὖν αὐτοῖς ὁ Ἰησοῦς· εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ ἥκω· (οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν.) 43. διὰ τί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν. 44. ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς καὶ ἐν τῇ ἀληθείᾳ οὐκ ἕστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ. ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύ-

ἦεν ἐτητυμίη. καὶ ὅτε σκολιόφρονι βουλῇ
130 αἱμύλα κωτίλλων ἀπατήνορα μῦθον ἰάλλει,
φθέγγεται ἐξ ἰδίων, ὅτι λοίγιον ἦθος ἀέξων
ψεύστης αὐτὸς ἔφυ ψευδήμονος ἐκ γενετῆρος.

— — — — — — — — — —

ὑμῖν αὐτὸς ἔλεξα, καὶ οὐ πιστεύετε μύθῳ. 45
τίς βροτὸς ὑμείων με δυνήσεται αὐτὸς ἐλέγξαι 46
135 ἀμπλακίης ἐπίηρα; καὶ εἰ νημερτὲς ἐνίψω,
τίπτε μοι οὐ πείθεσθε σαόφρονι; πᾶς σοφὸς ἀνὴρ 47
εἰς θεὸν αὐτογένεθλον ἔχων νόον ἡδέι θυμῷ
μύθους οὐρανίοιο θεοῦ ζώοντος ἀκούει·
ὑμεῖς δ' εἰςαΐειν οὐ σπεύδετε θέσκελον ὀμφήν,
140 ὅττι θεοῦ νέα τέκνα βιαρκέος ἐστὲ τοκῆος.
καὶ θρασὺς Ἑβραίων ἐπεπάφλασε λαὸς ἀκούων 48
ἄφρονι λωβητῆρι χέων ἔπος ἀνθερεῶνι·
οὔ σε καλῶς κρίνοντες ἐλέγχομεν ἴδμονι βουλῇ,

στης ἐστὶν καὶ ὁ πατὴρ αὐτοῦ. 45. ἐγὼ δὲ ὅτι (τὴν ἀλήθειαν) λέγω *ὑμῖν, οὐ πιστεύετέ μοι. 46. τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; εἰ ἀλήθειαν λέγω, διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι; 47. ὁ ὢν ἐκ τοῦ θεοῦ τὰ ῥήματα τοῦ θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ θεοῦ οὔκ ἐστε· 48. ἀπεκρίθησαν οἱ Ἰουδαῖοι καὶ εἶπαν αὐτῷ· οὐ καλῶς λέγομεν

---

129. ἐνετητυμίην V. cf. Tiedke I 9. 131. φθέγξεται V. 132. lacunam indicavit Koechly de paraphr. 8. 133. αὐτὸς] ἀληθὲς Marcellus. cf. Ludwich Beitr. 126. πιστεύεται Pa. 136. σοφὸν in marg. P. 140. θεοῦ V περ οὐ cet. et edd. 142. ἄφρονα vulgo; corr. Marcellus. λωβητῆρα Marcellus. ἔπος V ἔπε' cet. et edd. Wernicke ad Tryph. 125 ῥόον coniecit, quod probaverunt Hermann cens. 997 et Ludwich Beiträge 17. 143. καλῶς V κακῶς cet. et edd. e coni. καλῶς scripsit Nansius.

ὅττι θεὸς ποιητὸς ἀεξήθης Σαμαρείταις
45 δαίμονος ἀμφιέπων μανιώδεα ῥοῖζον ἱμάσθλης;
Ἰησοῦς δ' ἀγόρευε πάλιν δυςπειθέι λαῷ·
δαίμονος οὐ μεθέπει με λαθίφρονος ἦχος ἱμάσθλης,
ἀλλὰ θεὸν ζείδωρον ἐμὸν γενετῆρα γεραίρω
τιμαῖς εὐαγέεσσιν· ἀτιμίῃ δέ με πολλῇ
50 ὑμεῖς ἀφραδέοντες ἐλέγχετε κέντορι μύθῳ.
τιμὴν δ' ἡμετέρην οὐ δίζομαι. ὑψινεφὴς γὰρ 50
ἔστιν ὁ μαστεύων καὶ ἐμὸν κλέος αἰὲν ἀέξων
καὶ κρίνων πολὺ μᾶλλον. ἀμὴν δ', ἀμὴν ἀγορεύω· 51
ὅστις ἐμῶν δέξοιτο θεοφραδέων στίχα μύθων
55 καί κεν ἀσυλήτοισιν ὑπὸ πραπίδεσσι φυλάξοι,
οὔποτε πικρὸν ὄλεθρον ἐςόψεται, εἰςόκε μίμνει
αἰὼν πουλυέλικτος. ἐπεφθέγξαντο δὲ λαοί· 52
νῦν ἔτι, νῦν ἐδάημεν ἐτήτυμον, ὅττι σε λύσσης
δαίμονος ἠερόφοιτος ἀλάστορος οἶστρος ἐλαύνει.

ἡμεῖς ὅτι *Σαμαρείτης εἶ σὺ καὶ δαιμόνιον ἔχεις; 49. ἀπεκρίθη Ἰησοῦς· ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. 50. ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων. 51. ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. 52. εἶπον αὐτῷ οἱ Ἰουδαῖοι· νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανεν καὶ οἱ προφῆται, καὶ σὺ λέγεις· ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ γεύσηται θανάτου

---

144. ἀεξήθη V θεοπτοίητος ἀεξήθης Σαμαρείτης Koch l. c. 192. 146. 147. om. VMa in inferiore marg. alt. m. exhibit P.

160 Ἀβρὰμ ἔδρακε πότμον ὁ τηλίκος, οὐδὲ προφῆται
ἔσθενον ἀτρέπτοιο φυγεῖν ὠδῖνας ὀλέθρου·
καὶ σὺ τεῆς προχέων ὑψαύχενα κόμπον ἀπειλῆς
τολμήσας ἀγόρευες· ὅτι βροτὸς αἴκε φυλάξῃ
μύθους ἡμετέρους, οὐ γεύσεται οὗτος ὀλέθρου.
165 Ἀβρὰμ μὴ σὺ πέλεις θεοπειθέος αὐτὸς ἀρείων, 53
ἡμείων γενετῆρος, ὃς ἀτρέπτῳ θάνε πότμῳ;
καὶ θανάτου ξύμπαντες ἐπειρήσαντο προφῆται.
εἰπέ, τίνι προτέρων σε πανείκελον αὐτὸν ἐνίψεις;
Ἰησοῦς δ' ὀάριζε θεόσσυτα χείλεα λύσας· 54
170 αἴ κεν ἐπαινήσω καὶ ἀγήνορα μῦθον ἐνίψω
ὑψώσας ἐμὸν εὖχος, ἐμὸς λόγος οὐδὲν ὀνήσει.
ἔστιν ὁ κυδαίνων με πατὴρ ἐμός, ὅς με γενέθλῃ
ἀνδρομέῃ προέηκε μολεῖν ἰθύντορα κόσμου,
ὃν θεὸν ὑμείων ἀδίκῳ κικλήσκετε μύθῳ.
— — — — — — — — — —
175 αὐτὰρ ἐγὼ μάλα τοῦτον ἐπίσταμαι. ἦν γὰρ ἐνίψω, 55
ὅττι μιν οὐ δεδάηκα, φανήσομαι ἄρτι καὶ αὐτὸς

* · 53. μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὅστις ἀπέθανεν, καὶ οἱ προφῆται ἀπέθανον; τίνα σεαυτὸν ποιεῖς; 54. ἀπεκρίθη Ἰησοῦς· ἐὰν ἐγὼ δοξάσω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν· ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε ὅτι θεὸς ὑμῶν ἐστιν, 55. καὶ οὐκ ἐγνώκατε αὐτόν, ἐγὼ δὲ οἶδα αὐτόν. κἂν εἴπω ὅτι οὐκ οἶδα αὐτόν, ἔσομαι ὅμοιος *ὑμῖν ψεύστης· ἀλλὰ οἶδα αὐτὸν καὶ τὸν λόγον αὐτοῦ

160. π/τ^{ονται} Pa. 162. τεῇ vulgo; corr. Ludwich Beitr. 121 ἀπειλης V ἀπειλῇ cet. et edd., quod coni. Ludwich.

163. φυλάξοι^{η} Pa. 164. ὑμετέρους Iuvenis. αὐτὸς vulgo; ipse correxi. 166. ἡμείων V ἡμετέρου cet. et edd. θάνεν V 168. πρωτέρω Pa. 172. κυδαίνομαι πατὴρ Pa. 174. lacunam indicavit Koechly de par. 8. 176. καὶ φανήσομαι man. rec. in ras. Ma.

ὑμῖν ψευδομένοις ἀπατήλιος ἶσος ἀκούων·
ἀλλά μιν, ἀλλά μιν οἶδα, καὶ ὡς ἐπέτελλε τελέσσαι,
οὕτως ἀκλινέεσσιν ἐν ἤθεσιν ἔμπεδα ῥέζω.
180 ὑμείων γενέτης πρωτόσπορος ἔνθεος Ἀβρὰμ 56
ἦμαρ ἐμὸν πολύευκτον ἰδεῖν ἠγάλλετο θυμῷ·
εἶδε καὶ εὐφροσύνης ἐπεβήσατο. θαμβαλέος δὲ 57
λαὸς Ἰουδαίων ἀντίθροον ἔβρεμεν ἠχώ·
μήπω ἑλισσομένοιο χρόνου πολυκαμπέι νύσσῃ
185 ἄντυγα πεντήκοντα διαπλήσας ἐνιαυτῶν
Ἀβρὰμ πουλυέτηρον ἐςέδρακες; εἶπε καὶ αὐτός· 58
Ἀβρὰμ πρὶν γένος ἔσχεν, ἐγὼ πέλον. αἰνομανὴς δὲ 59
λᾶας ἔχων δασπλῆτας ἐπέρρεε λαὸς ἀγήνωρ
εἰςέτι μιν λαλέοντα κατακρύψαι μενεαίνων
190 τρηχαλέῃ γλωχῖνι λιθοβλήτου νιφετοῖο.
Ἰησοῦς δ' ἀκίχητος ὑπὸ πτύχα κεύθετο νηοῦ·
σιγαλέοις δὲ πόδεσσι διερπύζων μέσος αὐτῶν,
ἀπροϊδὴς πεφόρητο λιθοσσόον ἐσμὸν ἐάσας·
οὕτω μιν παράμειβε.

τηρῶ. 56. Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδεν καὶ ἐχάρη. 57. εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς αὐτόν· πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; 58. εἶπεν αὐτοῖς Ἰησοῦς· (ἀμὴν ἀμὴν λέγω ὑμῖν,) πρὶν Ἀβραὰμ γενέσθαι ἐγὼ εἰμί. 59. ἦραν οὖν λίθους ἵνα βάλωσιν ἐπ' αὐτόν· Ἰησοῦς δὲ ἐκρύβη καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ *διελθὼν διὰ μέσου αὐτῶν, καὶ παρῆγεν οὕτως.

---

180. ἀβραὰμ codd. corr. Iuvenis. 186. πολυέτηρον V.
187. [illegible]

ΚΕΦ. Ι.

Παραστείχων δὲ κελεύθου 1
ἥμενον ἄνδρα νόησε, τὸν ἐκ κόλποιο τεκούσης
τυφλὸν ἔτι σπαίροντα λεχωίδες ἔδρακον ὧραι,
ὅςτις ἔην περίφοιτος ἀφωτίςτοιο προςώπου
5 συμφερτήν, ἀμέριςτον ἔχων ἀχάρακτον ὀπωπήν,
ἣν φύσις οὐκ ἐτύπωσε· λιποβλεφάροιο δὲ κύκλου
οἰδαλέον ξένον ὄμμα γενεθλιὰς εἶχεν ὀμίχλη.
καὶ βρέφος οὔποτε τοῖον ἀνόμματον ἥλικι κόσμῳ
ἡνίοχος βιότοιο φυτοσπόρος ἤγαγεν αἰών.
10 Ἰηςοῦν δ' ἐρέεινεν ἑμόςτολος ἐςμὸς ἑταίρων· 2
ῥαββίν, ἀνειρομένοιςι, τίς ἤλιτεν, εἰπὲ μαθηταῖς·
οὗτος ἀλιτραίνων θεὸν ἤκαχεν ἠὲ τοκῆες,
εἰςόκε μιν δαςπλῆτες ἐμαιώςαντο λοχεῖαι
μητέρος ἐκ λαγόνων ἀλαώπιδι ςύγχρονον ὄρφνῃ;
15 Ἰηςοῦς δ' ἐδίδαξεν ἀληθέι μάρτυρι φωνῇ· 3
οὗτος ἀτασθαλέων οὐκ ἤλιτεν οὐδὲ τοκῆες,
ἀλλὰ λάχεν τόδε πῆμα θεήλατον, ὄφρα δι' αὐτοῦ
ἔργα θεοῦ γενετῆρος ἀλεξικάκοιο φανείη.

---

1. Καὶ παράγων εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς. 2. καὶ ἠρώτηςαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες· ῥαββί, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ; 3. ἀπεκρίθη Ἰηςοῦς· οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ,

---

1. περὶ τοῦ ἐκ γεννετῆς τυφλοῦ in marg. Ma. 2. ἄνδρα νόηςε V ἄνδρ' ἐνόηςε Ma ἄνδρ' ἐνόηςε cet. et edd. correxit Wernicke ad Tryph. 125 quem secutus est Marcellus; probavit suis argumentis Ludwich Beitr. 17. 21. νόηςεν, ὃν Marcellus. 4. οὗτος Marcellus. 5. ςυμφερτὸν V. 13. εἰς ὅτι Hermann cens. 997. 14. ςύνχρονον V μητρὸς edd. prim. corr. Sylburg. 17. λάχε Pa.

ἡμέας ὑψίστοιο πέλει χρέος ἔργα τελέσσαι, 4
ἔργα θεοῦ ζώοντος, ἕως ἔτι φαίνεται ἠώς·
νὺξ δνοφερὴ μετὰ βαιὸν ἐλεύσεται· ἐρχομένην δὲ
οὔτις ἀνὴρ κατὰ νύκτα δυνήσεται ἔργον ὑφαίνειν.
ῥέξω δ', εἰςόκεν ἦμαρ ἀέξεται· εἰμὶ δὲ κόσμου 5
φέγγος ἐγὼ ζοφόεντος, ἕως ἔτι κόσμον ὁδεύω.
εἶπεν ἄναξ καὶ θεῖον ὑπὸ στόμα διψάδι γαίῃ 6
λυσίπονον, πάλλευκον ἀπέπτυεν ἀφρὸν ὀδόντων.
καὶ χθονίῳ κενεῶνι πεφυρμένον ἀφρὸν ἑλίσσων
πτύσματι πηλὸν ἔτευξε φαεσφόρον· ἰκμαλέον δὲ
ἀνδρὸς ἐπιχρίσας λιποφεγγέι πηλὸν ὀπωπῇ
ἀνέρος ἔπλασεν ὄμμα, τὸ μὴ φύσις εὗρεν ὀπάσσαι,
ἀνέρος ἔπλασεν ὄμμα, καὶ ἀγλήνοιο προςώπου
γράψας δίπτυχα κύκλα μέσην ἐχάραξεν ὀπωπήν,
ὀφθαλμοὺς τελέων νεοτευχέας ἠθάδι πηλῷ
ἐκ χοὸς ἀνδρογόνοιο. καὶ ἔνυεπε θέσπιδι φωνῇ· 7
ἔρχεό μοι καὶ νίπτε τεὸν ῥέθος, ᾗχι Σιλωὰμ
πηγῆς ἀγχιπόροιο ῥέει πανδήμιον ὕδωρ,
ὕδωρ στελλομένοιο προώνυμον ἐκ σέο πομπῆς.

ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ θεοῦ ἐν αὐτῷ. 4. ἡμᾶς δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με ἕως ἡμέρα ἐστίν· ἔρχεται νύξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι. 5. ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου. 6. ταῦτα εἰπὼν ἔπτυσεν χαμαὶ καὶ ἐποίησεν πηλὸν ἐκ τοῦ πτύσματος καὶ ἐπέχρισεν αὐτοῦ τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, 7. καὶ εἶπεν αὐτῷ· ὕπαγε, νίψαι *τὸ προσωπόν σου εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ, ὃ ἑρμηνεύεται ἀπεσταλμένος. ἀπῆλθεν οὖν καὶ

Χριστὸς ἔφη, καὶ τυφλὸς ἐπείγετο καὶ παρὰ πηγῇ
χερσὶ βαθυνομένῃσι φαεσφόρον ἤφυσεν ὕδωρ,
40 ὕδασι πηγαίοισι λιπόσκια φάεα νίπτων.
σμήξας δ' ἀρτιτύπου τροχοειδέα κύκλον ὀπωπῆς
ἐξαπίνης φάος ἔσχε, τὸ μὴ φύσις οἶδεν ὀπάσσαι,
ἀθρήσας φαέθοντος ἀήθεος ὄψιμον αἴγλην.
νίψατο καὶ πάλιν ἦλθε καὶ ἵστατο πάντα δοκεύων.
45 καί μιν ἐςαθρήσαντες ἐπήλυδες ἄνδρες ὁδῖται 8
μαρμαρυγὴν πέμποντα νεογλήνοιο προςώπου
γείτονες ἐφθέγγοντο καὶ ἀνέρες ἴδμονες ἄλλοι·
οὐ πέλεν οὗτος ἐκεῖνος ἐν ἄστεϊ τυφλὸς ὁδίτης,
ὃς πάρος αἰτίζεσκεν ἐθήμονα χεῖρα τιταίνων
50 δεξιτερὴν προβλῆτα παρερχομένοισιν ὁδίταις;
ἄλλοι δ' ἀντιάχησαν ἀμοιβαίῳ τινὶ μύθῳ· 9
οὐ πέλεν, οὐ πέλεν οὗτος, ἔοικε δὲ μοῦνον ἐκείνῳ·
κεῖνος ἀνὴρ ἀγόρευεν· ἐγὼ πέλον. εἰςαΐων δὲ 10
λαὸς Ἰουδαίων φιλοπευθέα ῥήξατο φωνήν·
55 πῶς δὲ τεαὶ προβλῆτες ἀνωίχθησαν ὀπωπαί;

ἐνίψατο, καὶ ἦλθεν βλέπων. 8. οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν (τὸ πρότερον, ὅτι προσαίτης ἦν,) ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν; 9. * ἄλλοι δὲ ἔλεγον· οὐχί, ἀλλὰ ὅμοιος αὐτῷ ἐστιν. ἐκεῖνος ἔλεγεν ὅτι ἐγώ εἰμι. 10. ἔλεγον οὖν αὐτῷ· πῶς οὖν ἠνεῴχθησάν

---

39. φαεσφόρον in ras. MaPa. 40. λιπόσκεα V. 41. σμίξας Pa σμίξας in marg. ἡ P corr. Iuvenis. 47. ἴδμονι λαῷ codd. λαιμῷ Iuvenis. γείτονας ἐφθέγξαντο καὶ εἶρεον ἴδμονι λαῷ Marcellus. ἀνέρος ἴδμονες ἄλλοι Koch l. c. 193 ipse correxi. 48. ἄστει Iuvenis; corr. Hermann cens. 991, Lehrs l. c. 258, Hilberg l. c. 170. 51. 52. Inania molitur Marcellus ἄλλως — ὃς πέλεν, οὐ πέλεν. 53. πέλον VMa πέλω cet. et edd. cf. Ludwich Mus. Rhen. 35, 511. 55. πηχθέντες *Marcellus, quod* refutavit Ludwich Beitr. 127, qui προ-

Ἑβραίοις δ' ἀγόρευε θεῷ πεφιλημένος ἀνήρ· 11
κεῖνος ἀνήρ, ὃς Χριστὸς ἀκούεται, ὅντινα λαοὶ
Ἰησοῦν καλέουσιν, ἐμὰς ὤϊξεν ὀπωπάς·
χείλεσι γὰρ σοφὸν ἀφρὸν ἀνήρυγεν· ἐν δαπέδῳ δὲ
60 ἀκροτάτοις ὀνύχεσσι πολύστροφον ἰκμάδα πάλλων,
πτύσματι πηλὸν ἔτευξεν, ἐμὰς δ' ἔχρισεν ὀπωπὰς
καί με μολεῖν ἐκέλευσεν, ὅπῃ ῥόος ἐστὶ Σιλωάμ·
πηγῆς ἐγγὺς ἵκανον, ἀλεξικάκῳ δὲ ῥεέθρῳ
νιψάμενος σκιεροῖο περίτροχον ὄμματος ἰλὺν
65 ἐξαπίνης φάος εἶδον, ὃ μὴ πάρος εἶχον ὀπωπαί.
Ἑβραῖοι δ' ἐρέεινον ἀναιδέες ἄφρονι μύθῳ· 12
πῇ πέλε, πῇ πέλε κεῖνος; ὃ δ' ἴαχεν ἔμφρονι μύθῳ·
ἀγνώσσω, πόθι κεῖνος. ἐπεσσεύοντο δὲ λαοὶ 13
τόν ποτε τυφλὸν ἄγοντες ἐς ἀντιθέους ἱερῆας.
70 ἑβδομάτῃ δ' ἄπρηκτος ἔην τότε θέσκελος ἠώς, 14
τῇ ἔνι πηλὸν ἔτευξε καὶ ἔπλασε φέγγος ὀπωπαῖς
Χριστὸς ἀπὸ βλεφάρων ἐλάσας ἀλαωπὸν ὀμίχλην.

σου οἱ ὀφθαλμοί; 11. ἀπεκρίθη ἐκεῖνος· ἄνθρωπος ὁ λεγόμενος Ἰησοῦς πηλὸν ἐποίησεν καὶ ἐπέχρισέν μου τοὺς ὀφθαλμοὺς καὶ εἶπέν μοι· ὅτι ὕπαγε εἰς τὸν Σιλωὰμ * ἀπελθὼν οὖν καὶ νιψάμενος *τὸ πρόσωπόν μου ἀνέβλεψα. 12. εἶπαν *οὖν αὐτῷ· ποῦ ἔστιν ἐκεῖνος; λέγει· οὐκ οἶδα. 13. *καὶ ἄγουσιν αὐτὸν πρὸς τοὺς Φαρισαίους, τόν ποτε τυφλόν· 14. ἦν δὲ σάββατον, ἐν ᾗ ἡμέρᾳ τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς

τρῆτρες coniecit. 61. δὲ Passow. corr. Hermann cens. 991.

καί μιν ἀνείρετο λαὸς ἀπιστοτάτων Φαρισαίων, 15
πῶς βλεφάρων λάχε φέγγος; ὁ δὲ θρασὺς ἴαχεν ἀνήρ·
θέσκελον ἡμετέραις ἐπεθήκατο πηλὸν ὀπωπαῖς,
ὀφθαλμοὺς δ' ἐχάραξεν· ἐγὼ δ' ὑπὸ γείτονι πηγῇ
ὕδατι πηλὸν ἔνιψα καὶ ἵσταμαι ἄρτι δοκεύων.
καὶ φθονεροί τινες εἶπον ἀσιγήτων Φαρισαίων· 16
οὐ θεόθεν πέλεν οὗτος, ὃς ἱερὰ θεσμὰ πατήσας
οὐ δρόμον ἀπρήκτοιο φυλάσσεται ἕβδομον ἠοῦς.
ἄλλοι δ' ἀντιάχησαν ὁμοφθόγγων ἀπὸ λαιμῶν·
πῶς δύναται τάδε πάντα πολύτροπα θαύματα τεύχειν
θνητὸς ἀνὴρ καὶ ἀλιτρός; ἁμιλλητῆρι δὲ λαῷ
διχθὰ μεριζομένῳ διδυμόθροος ἔβρεμεν ἠχώ·
καὶ πολὺς ἀμφήριστος ἔην κλόνος. ἀνδρὶ δὲ τυφλῷ 17
πάντες ἐμυθήσαντο· σὺ δὲ φρεσὶν εἵνεκα κείνου
ποίην μῆτιν ἔχεις; τίνα μοι, τίνα μῆτιν ἐνίψεις;
ἀρτιφαὴς δ' ἀδόνητος ἀνὴρ πειθήμονι μύθῳ
ἔννεπε τολμήεις· ὅτι θέσκελός ἐστι προφήτης.

καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς. 15. πάλιν οὖν ἠρώτων αὐτὸν καὶ οἱ Φαρισαῖοι, πῶς ἀνέβλεψεν. ὁ δὲ εἶπεν αὐτοῖς· πηλὸν ἐπέθηκέν μου ἐπὶ τοὺς ὀφθαλμούς, καὶ ἐνιψάμην καὶ βλέπω. 16. ἔλεγον οὖν ἐκ τῶν Φαρισαίων τινές· οὐκ ἔστιν οὗτος παρὰ θεοῦ ὁ ἄνθρωπος, *ὃς τὸ σάββατον οὐ τηρεῖ. ἄλλοι *δὲ ἔλεγον· πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; καὶ σχίσμα ἦν ἐν αὐτοῖς. 17. λέγουσιν οὖν τῷ τυφλῷ πάλιν· σὺ τί λέγεις περὶ αὐτοῦ, (ὅτι ἤνοιξέν σου τοὺς

---

74. 75. in margine d. P. 78. ἀκηλήτων Marcellus. 82. ἔχειν Pa. 84. διδυμόχροος V. 85. κλόνος] ὄχλος V.

90 λαοὶ δ' οὐκ ἐπίθησαν ἀληθέι φωτὸς ἰωῇ, 18
ὅς ποτε τυφλὸς ἔην καὶ ἐδέξατο φέγγος ὀπωπῆς,
εἰ μὴ πρῶτα κάλεσσαν ἀπειθέες ἀρχιερῆες
ἀνδρὸς ἀναβλέψαντος ἐπισταμένους γενετῆρας.
ἀμφοτέρους δ' εἴροντο βαρυζήλῳ τινὶ μύθῳ· 19
95 ὑμείων πάις οὗτος, ὃν ἐφθέγξαντο πολῖται
ἐκ λαγόνων ὅτι τυφλὸς ἀνεβλάστησε τεκούσης;
καὶ πόθεν ὀψιτέλεστον ἐδέξατο φέγγος ὀπωπῆς
καὶ φόβον ὠδίνοντες ἐχέφρονες ἠπεροπῆες 20
μῦθον ὑποκλέπτοντες ἐμυθήσαντο τοκῆες·
100 ἴδμεν, ὅτι βροτὸς οὗτος, ὃς ἔλλαχεν ὄμματος αἴγλην,
ἡμείων πέλε κοῦρος ἐτήτυμος, ἀλλὰ καὶ αὐτοὶ
ἴδμεν, ἑῆς ἀπὸ μητρὸς ὅτι βρέφος εἰς φάος ἕρπων
τυφλὸς ἔην ἀγάλακτος, ἔτι πνείων τοκετοῖο.
πῶς δέ οἱ ἀμφιτρῆτες ἀνωίχθησαν ὀπωπαὶ
105 καὶ τίς ἀφωτίστων βλεφάρων ἐκέδασσεν ὀμίχλην,

ὀφθαλμούς;) ὁ δὲ εἶπεν ὅτι προφήτης ἐστίν. 18. οὐκ ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι ἦν τυφλὸς καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαντος. 19. καὶ ἠρώτησαν αὐτοὺς λέγοντες· οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; πῶς οὖν βλέπει ἄρτι; 20. ἀπεκρίθησαν οὖν οἱ γονεῖς αὐτοῦ καὶ εἶπον· οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν καὶ ὅτι τυφλὸς ἐγεννήθη· 21. πῶς δὲ νῦν βλέπει, * ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς ἡμεῖς οὐκ οἴδαμεν. αὐτὸν ἐρωτήσατε· ἡλικίαν ἔχει,

ἡμεῖς οὐκ ἐδάημεν ἀμεμφέες· ἀγχιφανῆ δὲ
ἴδμονα κοῦρον ἔρεσθε, τὰ μὴ δεδάασι τοκῆες·
οὐ πέλε νήπιος οὗτος ἔχων παιδήιον ἥβην·
οὐ φθογγῆς ἑτέρης ἐπιδεύεται. ἀμφὶ ἔθεν γὰρ
110 ἀρτιθαλὴς νέος οὗτος ἀληθέα μῦθον ἐνίψει,
πιστῆς μέτρα τέλεια φέρων παλιναυξέος ἥβης.
τοῖα φόβῳ δολόεντες ἐπεφθέγξαντο τοκῆες 22
τάρβος Ἰουδαίων πεφυλαγμένοι. αἰνομανεῖς γὰρ
Χριστοῦ ζῆλον ἔχοντες ἀμιμήτων χάριν ἔργων
115 συνθεσίην κήρυξαν ὅλῳ πειθήμονι λαῷ,
ὄφρα μιν ὃς δέξοιτο νόῳ καὶ Χριστὸν ἐνίψῃ,
μὴ ζαθέου ψαύσειε θεοκλήτοιο μελάθρου.
οὗ χάριν Ἑβραίοισιν ἐμυθήσαντο τοκῆες· 23
ἴδμονα κοῦρον ἔρεσθε καὶ οὐ χρέος ἐστὶ τοκήων·
120 ὑμῖν δ' εἰρομένοισι δυνήσεται οὗτος ἐνίψαι
ἄρτια μέτρα φέρουσαν ἔχων περιμήκετον ἥβην·
καὶ γενέτης ἀλαοῖο κεράσσατο θαύματι φωνὴν
γλώσσῃ κρυπταδίῃ, μὴ δήιος ἐσμὸς ἀκούσῃ
παιδὸς ἰδὼν νέον ὄμμα βοογλήνοιο προσώπου.

αὐτὸς περὶ ἑαυτοῦ λαλήσει. 22. ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους· * γὰρ συνετέθειντο οἱ Ἰουδαῖοι, ἵνα ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστόν, ἀποσυνάγωγος γένηται. 23. διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπαν,

---

106. ἀπευθέες Hermann cens. 997. 107. μὴ] δὲ Pa. 109. ἀμφιέθεν codd. corr. Bogardus. ἀμφὶς Marcellus; sed vide, quod disserui Z. f. d. ö. G. 1878 p. 900. 116. δέξαιτο vulgo; ipse correxi. ἐνίψει VMaPa ἐνίψει P. 122. κεράσαντο Pa κεράσατο cet. et edd.; corr. Iuvenis, quod probaverunt Hermann cens. 997 et Ludwich Beitr. 59. 124. βο≡γλήνοιο Pa νεογλήνοιο Marcellus.

125 ἀνέρα δ', ὃς περίφοιτος ἔην ἀλαωπὸς ὁδίτης, 24
ζηλομανεῖς καλέσαντες ἐπέφραδον ἀρχιερῆες,
δός, τέκος, ὑψιμέδοντι θεῷ χάριν, ὅς σε σαώσας
ὀφθαλμῶν πόρε φέγγος· ὁ δὲ βροτός, ὃν σὺ γε-
ραίρεις,
οὗτος ἀλιτροσύνῃσι πέλει μεμελημένος ἀνήρ.
130 Ἑβραίοις δ' ἀγόρευεν ἀνὴρ θρασύς· οὐ μὲν ἀν-
έγνων, 25
εἰ πέλεν οὗτος ἀλιτρὸς ἐτήτυμον· οἶδα δὲ θυμῷ
ἓν μόνον ἀτρεκέως, λοχίης ὅτι σύντροφος ἠοῦς
τυφλὸς ἐγὼ βλάστησα καὶ ἵσταμαι ἄρτι δοκεύων.
καὶ χορὸς Ἑβραίων φιλοπευθέα ῥήξατο φωνήν· 26
135 εἰπέ, τί σοι ποίησεν ἑῷ τεχνήμονι πηλῷ;
πῶς δὲ τεὴν ζοφόεσσαν ἀπημάλδυνεν ὀμίχλην;
καί σφιν ἀνὴρ ἀδόνητος ἐλεύθερον ἴαχε φωνήν· 27
ἄλλοτε μῦθον ἔλεξα, καὶ οὐκ ἠκούσατε φωνῆς,
τίπτε παλιμπετέες μενεαίνετε τοῦτον ἀκοῦσαι;
140 μὴ θεὸς ὑμείων δονέει νόον, ὄφρα καὶ αὐτοὶ
Χριστοῦ θεσπεσίοιο νόθοι γίνησθε μαθηταί;

ὅτι ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε. 24. ἐφώνησαν οὖν τὸν ἄνθρωπον * , ὃς ἦν τυφλός, καὶ εἶπαν αὐτῷ· δὸς δόξαν τῷ θεῷ· ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν. 25. ἀπεκρίθη οὖν ἐκεῖνος· εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς *ἤμην καὶ ἄρτι βλέπω. 26. εἶπον οὖν αὐτῷ· τί ἐποίησέν σοι; πῶς ἤνοιξέν σου τοὺς ὀφθαλμούς; 27. ἀπεκρίθη αὐτοῖς· εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ

οἱ δέ μιν ἀντιπόροισιν ἐνείκεον αὐτίκα μύθοις· 28
αὐτὸς λυσινόμοιο πέλεις κείνοιο μαθητής.
ἡμεῖς γὰρ προτέροιο θεουδέος ἐσμὲν ἑταῖροι
145 θεσμοτόκου Μωσῆος ὑποδρηστῆρες ἰωῆς.
— — — — — — — — — — 29
τοῦτον δ' οὐκ ἐδάημεν. ἀνὴρ δ' ἠμείβετο μύθῳ· 30
τοῦτο γάρ ἐστι τὸ θαῦμα πολὺ πλέον, ὅττι περ ὑμῖν
οὗτος ἔην ἄγνωστος, ἐμὰς δ' ὤιξεν ὀπωπάς.
ἴδμεν, ὅτι ξύμπαντα πατὴρ θεὸς ἡνιοχεύων 31
150 ἀνδρὸς ἀλιτρονόοιο βοὴν οὐκ οἶδεν ἀκούειν.
εἰ δὲ θεουδείῃσιν ἀνὴρ μεμελημένος εἴη
καὶ καθαραῖς πραπίδεσσι θεοῦ τελέσειεν ἐφετμάς,
τούτου λισσομένοιο θεὸς ταχυεργὸς ἀκούει.
ἐξότε ποικιλόμορφος ἀέξετο πάντροφος αἰών, 32
155 τηλίκος οὔποτε μῦθος ἀκούεται, ὅττι λαχόντι
ὄμμα πολυκλήιστον ἀφωτίστοιο προςώπου
ἀνέρι τις πόρε φέγγος, ὃν ἀρτιτόκου διὰ κόλπου

μαθηταὶ γενέσθαι; 28. ἐλοιδόρησαν *οὖν αὐτὸν καὶ εἶπον· σὺ μαθητὴς εἶ ἐκείνου· ἡμεῖς δὲ τοῦ *Μωσέως ἐσμὲν μαθηταί. 29. ἡμεῖς οἴδαμεν ὅτι *Μωσεῖ λελάληκεν ὁ θέος, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. 30. ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς· *τοῦτο γὰρ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστίν, καὶ ἤνοιξέν μου τοὺς ὀφθαλμούς. 31. οἴδαμεν ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει, ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει. 32. ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γε-

---

145. lacunam indicavit Koechly de par. 8. 146. ἀμείβετο PPa corr. Iuvenis. 152. καθαροῖς Pa πραπίδεσι V. 156. πολυκλείδωτον Marcellus. 157. τίς codd. et prim. edd. corr. Stephanus.

εἰςέτι τυφλὸν ἐόντα μογοστόκος ἔδρακεν ἠώς.
εἰ μὴ ἔην βροτὸς οὗτος ἐπουρανίου βασιλῆος, 33
160 τηλίκον οὔποτε θαῦμα δυνήσατο μοῦνος ἀνύσσαι.
καί μιν μυστιπόλοι φθονερῇ στυφέλιξαν ἰωῇ· 34
σύγγονος ἀμπλακίῃσιν ἐμαιώθης ὅλος ἀνήρ,
καὶ σὺ σοφοὺς ἱερῆας, ἐπεσβόλε, ταῦτα διδάσκεις;
καί μιν ὁμοκλήσαντες ἀπήλασαν ἔκτοθι νηοῦ.
165 Ἰησοῦς δ' ἀίεσκε δαήμονι τυφλὸν ἀκουῇ, 35
ὅττι μιν ἐκτὸς ἔλασσαν ἀγήνορες ἀρχιερῆες·
εὗρε δέ μιν καὶ ἔειπε· σὺ πείθεαι υἷα γεραίρων
οὐρανίου βασιλῆος; ἀνὴρ δ' ἠρεύγετο φωνήν· 36
κοίρανε, τίς πέλεν οὗτος, ὃν ἔννεπες, ὄφρα γεραίρω;
170 Ἰησοῦς δ' ἀπάμειπτο· καὶ ἔδρακες αὐτὸν ὀπωπῇ, 37
καί σοι ὁ νῦν λαλέων αὐτὸς πέλεν. εἶπε καὶ αὐτός· 38
κοίρανε, πιστεύω· κεφαλὴν δ' ἐπὶ γαῖαν ἐρείσας
καὶ ποσὶν ἀμβροσίοις κυρτούμενον αὐχένα κάμπτων

γεννημένου· 33. εἰ μὴ ἦν οὗτος παρὰ θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. 34. ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ· ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; καὶ ἐξέβαλον αὐτὸν *ἐκ τοῦ ἱεροῦ. 35. ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ εὑρὼν αὐτὸν εἶπεν· σὺ πιστεύεις εἰς τὸν υἱὸν *τοῦ θεοῦ; 36. ἀπεκρίθη ἐκεῖνος * · τίς ἐστιν, κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; 37. εἶπεν *δὲ αὐτῷ ὁ Ἰησοῦς· καὶ ἑώρακας αὐτόν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. 38. ὁ δὲ ἔφη· πιστεύω, κύριε, καὶ προσεκύνησεν αὐτῷ

φαιδρὰ πολυρραφέων προςπτύξατο ταρσὰ πεδίλων.
175 Ἰησοῦς δ' ἀπάμειπτο σαόφρονα μῦθον ἀκούων· 39
εἰς κρίμα τοῦτον ἵκανον ἐς ἄφρονα κόσμον ἀλήτην,
εἰς κρίμα δισσὸν ἔβην ἑτερότροπον, ὄφρα καὶ αὐτοὶ
οἱ πάρος οὐχ ὁρόωντες ἀθηήτου φάος ἠοῦς
τυφλοὶ ἀναβλέψωσιν ἐςαθρήσαντες ὀπωπαῖς,
180 ὀξυφαεῖς δὲ γένοιντο λιπαυγέες. ἀγχιπόρων δὲ 40
Χριστῷ λαὸς ἔειπεν ἐφεσπομένων Φαρισαίων,
μὴ σφαλεροῖς βλεφάροις ἀλαοὶ γενόμεσθα καὶ ἡμεῖς;
Ἰησοῦς δ' ὀάριζεν ἀπειθέα λαὸν ἐλέγχων· 41
εἰ ζόφος ὑμετέρης περιδέδρομε φέγγος ὀπωπῆς,
185 ὑμέας ἀμπλακίης ἀδαήμονας ἔννεπον εἶναι·
νῦν δὲ φόως ὁρόωντες ἀλήμονές ἐστε καὶ ὑμεῖς·
τυφλοὶ δ' ἐστὲ νόῳ βλεφάρων πλέον· οἷσι γὰρ ἀνδρῶν
ἀμπλακίαι μίμνουσι, μάτην ὁρόωσιν ὀπωπαῖς.

καὶ εἶπεν ὁ Ἰησοῦς· εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσιν καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. 40. *καὶ (ἤκουσαν) ἐκ τῶν Φαρισαίων οἱ μετ' αὐτοῦ ὄντες, (καὶ) εἶπον αὐτῷ· μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; 41. εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· εἰ τυφλοὶ ἦτε, οὐκ * εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε ὅτι βλέπομεν. ἡ οὖν ἁμαρτία ὑμῶν μένει.

---

174. φαιδροὶ V. 176. 177. κρῖμα V. 177. αὐτοὶ] οὗτοι Marcellus. 180. γένωνται vulgo; corr. Sylburg, cf. Hermann cens. 997. 183. ὀάρισεν Bogardus ὀάρισσεν Bordatus. cf. Hermann cens. 997. ἐνίπτων vulgo; corr. Wernicke ad Tryph. 356. 184. περιδέδρομαι Pa ὀπωπαῖς V. sequebatur v. 180, sed eadem manu deletus est V. 185. ἀδαήμονος ultimae binae literae in rasura V. 186. ὁρῶντες Pa. 187. δὲ V in marg. ζῇ PaP (?). 188. μίμνουσιν et ὁρόωσι Pa.

ΚΕΦ. Κ.

Μάρτυρος ἀστυφέλικτος ἀμήν, ἀμὴν λόγος ἔστω, 1
ὅς κε παραΐξειε θύρην εὐερκέος αὐλῆς
ἐνδομύχων προβάτων καὶ ὑπέρτερος ἄλλοθεν ἕρπει
εἰς σκολιὴν ἀίδηλος ἐπηλυσίην ἀναβαίνων,
5 λῃστὴρ πέλεν οὗτος ἀνὴρ λῃίστορι ταρσῷ.
ὃς δὲ μολὼν ἄγναμπτος ἐς αὔλιον ὀρθὸς ἱκάνει, 2
ποιμὴν οὗτος ἔφυ μηλοτρόφος. ἐρχομένῳ δὲ 3
ἀμφαδίην σταθμοῖο θύρην πυλαωρὸς ἀνοίγει.
μῆλα δὲ γινώσκοντα περισκαίρουσι νομῆα
10 φθογγῆς εἰσαΐοντα· παρὰ προθύροισι δὲ ποιμὴν
πώεα ποιμαίνειν προκαλίζεται ἠθάδι φωνῇ·
ἔκτοθι δὲ σταθμοῖο γεγηθότα μῆλα κομίζει.
ἐξαγαγὼν δ' ὅτε πᾶσαν ἀολλίσσῃ στίχα ποίμνης, 4
εἰς νομὸν ἐρχομένων ὀίων προκέλευθος ὁδεύει·
15 ποίμνη δ' αἰολόμορφος ὀπισθοπόρῳ ποδὶ βαίνει
εἰς δροσεροὺς λειμῶνας ὀπηδεύουσα νομῆι.

---

1. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶν καὶ λῃστής· 2. ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας *οὗτός ἐστι ποιμὴν τῶν προβάτων. 3. τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ * πρόβατα φωνεῖ κατ' ὄνομα καὶ ἐξάγει αὐτά. 4. *καὶ ὅταν τὰ (ἴδια) πάντα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, (ὅτι οἴδασιν τὴν φωνὴν

ξείνου δ' οὐκ ἀίουσι καὶ οὐ δεδάασιν ἀκούειν 5
ἀλλοτρίου καλέοντος ἀήθεα ποιμένος αὐδήν,
ἀλλὰ παραΐσσοντα νόθον φεύγουσι νομῆα.
τοῖον ἔπος κατέλεξε παράτροπον· ἀμφὶ δὲ μύθῳ 6
λαὸς ἀμηχανέεσκε καὶ οὐ μάθεν ἐγγὺς ἀκούων,
Χριστὸς ἀσημάντῳ τάπερ ἔννεπε θέσπιδι φωνῇ.
Ἰησοῦς δ' ἀγόρευεν ἀριζήλῳ τινὶ μύθῳ· 7
πανδόκος εἰμὶ θύρη προβάτων πολυχανδέος αὐλῆς.
πάντες, ὅσοι πάρος ἦλθον ὑποκλέπτοντι πεδίλῳ, 8
φῶρες ἔσαν δολόεντες· ὅθεν ληίστορι φωνῇ
αὐτῶν φθεγγομένων οὐκ ἔκλυε πώεα ποίμνης.
πανδόκος εἰμὶ θύρη μηλοσσόος· ἡμετέρης δὲ 9
ὅς κεν ἰὼν δι' ἐμεῖο θύρην ὑποδύσεται αὐλῆς,
οὗτος ἔσω στείχει καὶ ὑπότροπος αὖτις ὁδεύει
καὶ νομὸν εὑρήσει καὶ ἀεισόος ἔσσεται ἀνήρ.
ληιστὴρ δ' ἀίδηλος ἐς αὔλιον οὔποτε βαίνει, 10
εἰ μὴ ἵνα κλέψειεν ἀμάρτυρος ἢ καὶ ὀλέσσῃ
ἠὲ διατμήξειεν ἀφειδέι μῆλα μαχαίρῃ.

αὐτοῦ·) 5) ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασιν *τοῦ ἀλλοτρίου τὴν φωνήν. 6. ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. 7. εἶπεν οὖν αὐτοῖς * ὁ Ἰησοῦς· (ἀμὴν ἀμὴν λέγω ὑμῖν) * ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. 8. πάντες ὅσοι ἦλθον *πρὸ ἐμοῦ, κλέπται ἦσαν καὶ λῃσταί· ἀλλ' οὐκ *ἤκουσεν αὐτῶν τὰ πρόβατα. 9. ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. 10. ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπο-

---

17. δ' om. V. 22. ἀπημάντῳ A; corr. Iuvenis. 23. ἀριδήλῳ (sic!) Marcellus. 29. ἀποδύσεται V. 31. ἀεισσόος *codd.* 33. ὀλέσσει V ἠὲ A; corr. Bordatus.

35 αὐτὰρ ἐγὼ παρὰ πατρός, ὅπως ἐμὰ μῆλα σαώσω,
ἦλυθον, ὄφρα λάχοιεν ἀλωφήτῳ τινὶ τιμῇ
ζωὴν ἐσσομένην, τὴν οὐ χρόνος οἶδεν ὀλέσσαι,
ἠὲ περισσὸν ἔχοιεν ὑπέρτερον. εἰμὶ δὲ ποιμὴν 11
καλὸς ἐγώ· ποιμὴν δὲ καλὸς περὶ μῆλα φυλάσσων
40 καὶ ψυχῆς ἰδίης οὐ φείδεται, ἀλλά ἑ θήσει
λύτρον ἑῶν ὀίων. ὁ δὲ μίσθιος οὐ πέλε ποιμήν· 12 13
δήιον ἀγχικέλευθον ἰδὼν λύκον, ἅρπαγα μήλων,
κρυπτὸς ἀλυσκάζων ὑποδύεται ὀξὺς ἐάσας
βοσκομένων ἀφύλακτα πολύπλανα πώεα μήλων·
45 κρυπτὸς ἀλυσκάζων ὑποδύεται· οὐκ ἀλέγει δὲ
μήλων ἀλλοτρίων, ὅτι μίσθιος αὐτὸς ἀκούει·
καὶ λύκος ἀγκυλόμητις ἐπέρχεται ἅρπαγι λαιμῷ
μῆλα διασκεδάσας σημάντορος οὐ παρεόντος.
ποιμὴν καλὸς ἔφυν καὶ πώεα καλὰ νομεύω· 14
50 γινώσκω δ' ἐμὰ μῆλα, καὶ ἠθάδα μηλοβοτῆρα
ταῦτά με γινώσκουσιν ἴσῳ διδυμάονι θεσμῷ,

λέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσιν καὶ περισσὸν ἔχωσιν. 11. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· 12. ὁ μισθωτὸς *δὲ καὶ οὐκ ὢν ποιμήν, (οὗ οὐκ ἔστιν τὰ πρόβατα ἴδια,) θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησιν τὰ πρόβατα καὶ φεύγει. καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. 13. *ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστιν καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. 14. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ

ὡς γενέτης νοέει με, καὶ ὡς νοέω γενετῆρα. 15
ψυχὴν δ' ἡμετέρην ὀίων ὕπερ αὐτίκα θήσω.
ἔστι μέν, ἔστι καὶ ἄλλα πολύτροπα πώεα ποίμνης 16
ταύτης οὐ γεγαῶτα μιῆς θεοδέγμονος αὐλῆς,
ἀλλογενῆ· καὶ ταῦτα πέλει χρέος, ὥς κεν ἀγείρω
φθογγῆς ἡμετέρης ἀριήκοα· καὶ μία ποίμνη
ἔσσεται ἀμφοτέρωθεν ἑνὸς τελέθουσα νομῆος.
τοῦ δ' ἕνεκεν φιλέει με πατὴρ ἐμός, οὕνεκα θήσω 17
ψυχὴν ἡμετέρην ὀίων ὕπερ, ὄφρα μιν εὕρω
εἰς ἐμὲ νεισσομένην παλινάγρετον. οὐδέ τις αὐτὴν 18
θεσμὸς ἀφαιρεῖταί με γενέθλιος, οὐ χρόνος ἕρπων
πανδαμάτωρ, ἀδάμαστος ἢ ἐμπεδόμητις ἀνάγκη,
ἀλλά μιν αὐτοκέλευστος ἑκὼν ἐθέλουσαν ὀπάσσω,
ὄφρα λάβω μετὰ βαιὸν ἔχων αὐτάγρετον ἀλκήν.
ταύτην ὑψιμέδοντος ἔχω παρὰ πατρὸς ἐφετμήν,
θεῖναι καὶ παλίνορσος ἑλεῖν διδυμάονι θεσμῷ.

γινώσκω τὰ ἐμά, καὶ γινώσκουσίν με τὰ ἐμά, 15. καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. 16. καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνα δεῖ με *συναγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσιν, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. 17. διὰ τοῦτό *μου ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου *ὑπὲρ τῶν προβάτων ἵνα πάλιν λάβω αὐτήν. 18. οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ· * ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. ταύτην τὴν ἐντολὴν ἔλαβον

---

52. καὶ ὡς] κἀγώ Marcellus. 56. ἐγείρω V. 59. θ' V. 60. αἴρω VPa ἄρω MaP et edd. princ. αἴρω Bogardus corr. Lehrs l. c. 259, Hermann cens. 997 ἄρω restitui iussit. αἰρῶ Passow. 61. νισσομένην V. 63. ἐμποδόμητις A corr. Iuvenis. 65. αὐτάγρεντον A corr. Bogardus. 67. παλίνορσον Iuvenis.

καὶ πάλιν Ἑβραίων ἐμερίζετο λαὸς ἀκούων. 19
καὶ πολέες φθέγξαντο πολυφλοίσβῳ τινὶ μύθῳ· 20
φθεγγόμενον βαλίῃσιν ἐάσατε τοῦτον ἀέλλαις·
δαιμόνιον μεθέπει καὶ μαίνεται· ἄφρονα τοῦτον
λείπετε· μαινομένου τί σπεύδετε μῦθον ἀκούειν;
ἄλλοι δ' ἀντιάχησαν ὁμοζήλων ἀπὸ λαιμῶν· 21
οὐ τάδε μαινομένοιο σαόφρονα χεύματα μύθων·
ἄφρονος οὐ πέλε ταῦτα. μὴ ἀχλυόεις ποτὲ δαίμων
ὀφθαλμοὺς ἀλαοῖο δυνήσεται αὐτὸς ἀνοῖξαι;
καὶ πάλιν ἦμαρ ἔην πανδήμιον, ᾧ ἔνι λαοὶ 22
μνημοσύνην τελέεσκον ἐτήσιον, ἐξότε νηοῦ
ἕδρανα δωμήσας Σολομῶν εὐκίονι τέχνῃ
θεσπεσίης ἀρχαῖον ἐκαίνισε θεσμὸν ἑορτῆς·
καὶ τότε παχνήεσσα παρίστατο χείματος ὥρη.
Ἰησοῦς δ' ἱεροῖο διέστιχεν ἔνδοθι νηοῦ, 23
θέσκελον αἰθούσης πολυδαίδαλον οὖδας ὁδεύων,
ἀρχεγόνου Σολομῶντος ἐπώνυμον. αἰνομανεῖς δὲ 24
Ἑβραῖοι στεφανηδὸν ὁμόζυγες εἰν ἑνὶ χώρῳ
Χριστὸν ἐκυκλώσαντο καὶ ἔννεπον ἄφρονι μύθῳ·

παρὰ τοῦ πατρός μου. 19. σχίσμα *οὖν πάλιν ἐγένετο ἐν τοῖς Ἰουδαίοις διὰ τοὺς λόγους τούτους. 20. ἔλεγον οὖν πολλοὶ ἐξ αὐτῶν· δαιμόνιον ἔχει καὶ μαίνεται· τί αὐτοῦ ἀκούετε; 21. ἄλλοι ἔλεγον· ταῦτα τὰ ῥήματα οὐκ ἔστιν δαιμονιζομένου· μὴ δαιμόνιον δύναται τυφλοῦ ὀφθαλμοὺς ἀνοίγειν; 22. ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν τοῖς Ἱεροσολύμοις, *καὶ χειμὼν ἦν, 23. καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ ἐν τῇ στοᾷ *Σολομῶντος. 24. ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι καὶ ἔλεγον

ἡμείων τέο μέχρις ὑποκλέπτεις φρένα μύθοις;
εἰ σὺ Χριστὸς ἵκανες ἐτήτυμος, ἀμφαδὸν ἡμῖν
ἀγρομένοις ἀγόρευε· τί καὶ τεὸν οὔνομα κεύθεις;
90 Ἰησοῦς δ' ἅμα πᾶσιν ἀνίαχε· πολλάκις ὑμῖν, 25
πολλάκις αὐτὸς ἔλεξα, καὶ οὐ πιστεύετε μύθῳ·
ἔργα, τάπερ τελέω καλέων πατρώιον ἀλκήν,
μάρτυρα ταῦτα πέλει καὶ φθέγγεται ἔμφρονι σιγῇ
θηητὸν μερόπεσσι λάλον τύπον· ἀλλά που ὑμεῖς 26
95 ἐν βλεφάροις δέρκεσθε καὶ οὐ πείθεσθε μενοιναῖς;
οὐ γὰρ ἐμῶν ὀίων ταχυπειθέος ἐστὲ γενέθλης,
οὔασι θελγομένοισιν ἐμῆς ὅτι πώεα ποίμνης 27
γῆρυν ἐμὴν ἀίει καὶ ἐφέσπεται ἡγεμονῆι·
γινώσκω δ' ἐμὰ μῆλα· καὶ εἴν ἑνὶ πᾶσιν ὀπάσσω 28
100 ζωὴν ἐσσομένην αἰώνιον, οὔποτε ποίμνη,
οὔποτε πώεα ταῦτα διόλλυται, εἰσόκε μίμνει
αὐτομάταις ἀψῖσιν ἕλιξ κυκλούμενος αἰών.
οὐδέ τις ἁρπάξειεν ἐμὴν πινυτόφρονα ποίμνην

εἰπὲ ἡμῖν παρρησίᾳ. 25. ἀπεκρίθη *αὐτοῖς ὁ Ἰησοῦς· εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε. τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ (περὶ ἐμοῦ.) 26. ἀλλὰ ὑμεῖς οὐ πιστεύετε· *οὐ γάρ ἐστε ἐκ τῶν προβάτων τῶν ἐμῶν. 27. τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου *ἀκούει, κἀγὼ γινώσκω αὐτά, καὶ *ἀκολουθεῖ μοι, 28. κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ

---

88. *εἰσὶ* Pa *εἰ δὲ σὺ* Hermann cens. 997, quod reieci Quaest. Nonn. I 23. 90. *ὑνῖν* V. 91. *πιστεύσατε* Pa. 94. *θνητὸν* V. 95. *βλαφάροισι* Pa. 96. *ἐστὶ* Pa. 98. *ἀεὶ* Pa *ἐφέπεται* idem. 100. *ποίμνης* vulgo; ipse correxi. 101. *μίμνει* V *μίμνῃ* cet. et edd. 102. *οὐρανίαις* Marcellns; sed cf. Rigler l. c. V 12. *ἀψῖσιν* in marg. *ἀψ.* P *ἕλιξι* edd.; corr. Wernicke *in marg.*

χειρὸς ἀφ' ἡμετέρης, γενέτης ἐμὸς ὅττι νομεύειν 29
105 ὅς μοι πώεα δῶκεν ὑπέρτερος ἔπλετο πάντων.
αὐτὸς ἐγὼ μεδέων τε πατὴρ ἐμὸς ἓν γένος ἐσμέν, 30
ἔμφυτον, αὐτόπρεμνον, ὅθεν φυτὰ μυρία κόσμου.
εἶπεν ἄναξ· λαοὶ δὲ συνέρρεον, ἐκ δαπέδου δὲ 31
λᾶας ἀνηέρταζον, ὅπως ὑπὸ χερμάδι λύσσῃ
110 Χριστὸν ὀιστεύσωσι χαραδραίοισι βελέμνοις.
Ἰησοῦς δ' ἀπάμειπτο χέων πολυμεμφέα φωνήν· 32
ἡμετέρου καλὰ πολλὰ παρ' ὑψίστοιο τοκῆος
ὑμέας ἔργα δίδαξα, τάπερ μάθον. ἀντὶ τίνος δὲ
ἔργου θεσπεσίου φονίην τίνοντες ἀμοιβὴν
115 εἰς ἐμὲ λαϊνέοισιν ἐθωρήχθητε βελέμνοις;
λαοὶ δ' ἀντιάχησαν ἀμοιβαδίς· οὐ χάριν ἔργου 33
καλοῦ λύσσαν ἔχοντες ἀολλίζοντο πολῖται,
ὄφρα σε πετρήεντι κατακρύψωσι χιτῶνι,
ἀλλὰ βαρυγλώσσοιο τεοῦ χάριν ἀνθερεῶνος,
120 ὅττι χαμαιγενέος μεθέπων βλάστημα γενέθλης

ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου. 29. ὁ πατήρ *μου, *ὃς *ἔδωκέν μοι, *μείζων πάντων ἐστίν, (καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ πατρός μου.) 30. ἐγὼ καὶ ὁ πατήρ *μου ἓν ἐσμεν. 31. ἐβάστασαν *οὖν * λίθους οἱ Ἰουδαῖοι, ἵνα λιθάσωσιν αὐτόν. 32. ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· πολλὰ ἔργα καλὰ ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός *μου. διὰ ποῖον αὐτῶν ἔργον ἐμὲ λιθάζετε; 33. ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν.

θνητὸς ἐών, ἐνέπεις θεὸς ἔμμεναι. ἀντιπόρῳ δὲ 34
Χριστὸς ἀναμφήριστον ἔπος μυθήσατο λαῷ·
οὐ νόμος ὑμείων κεχαραγμένα ταῦτα κομίζει·
εἶπον ἐγώ· θεοί ἐστε; καὶ εἰ χθονίων τινὰς ἀν-
δρῶν, 35
125 οἷς τότε μοῦνον ἵκανε θεοῦ λόγος ἶσος ὀνείρῳ,
ὑμετέρου θεσμοῖο θεοὺς ἐκάλεσσεν ἀοιδή —
καὶ γραφικῆς βίβλοιο παλίλλυτος ἔμμεναι ὀμφὴ
οὐ δύναται — λόγον αὐτόν, ὃν ὑψιμέδων πόρε
κόσμῳ 36
καὶ καθαρῆς παλάμης ἁγίῳ σφρηγίσσατο δεσμῷ,
130 ὑμεῖς ἄφρονα μῦθον ἐπεφθέγξασθε μανέντες,
— — — — — — — — — —
ὅττι θεοῦ ζώοντος ἐγὼ πάις. ἡμετέρου δὲ 37
εἰ μὴ ἐγὼ τελέω ζωαρκέος ἔργα τοκῆος,
μήποτέ μοι πείθεσθε, καὶ εἰ βιοδώτορι μύθῳ 38

---

34. ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· οὐκ ἔστιν γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν * ἐγὼ εἶπον· θεοί ἐστε; 35. εἰ ἐκείνους εἶπεν θεούς, πρὸς οὓς ὁ λόγος ἐγένετο τοῦ θεοῦ, καὶ οὐ δύναται λυθῆναι ἡ γραφή, 36. ὃν ὁ πατὴρ ἡγίασεν καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι βλασφημεῖς, ὅτι εἶπον· υἱὸς τοῦ θεοῦ εἰμι; 37. εἰ *μὴ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι. 38 εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύετε, τοῖς ἔργοις *μου πιστεύετε, ἵνα * γινώσκητε ὅτι ἐν ἐμοὶ

λαῷ

121. θεὸν PPa. 122. λαιμῷ Ma λαιμῷ PPa. 124. versum non integrum putavit Lehrs l. c. 271; sed vide, quod ipse disserui Z. f. d. ö. G. 1878 p. 899. 125. ἴσος V. 127. παλίλυτος PPa; corr. Bogardus. 128. αὐτοὶ Pa. 129. σφρηγίσατο VPa θεσμῷ vulgo; corr. Tiedke I 32. 130. μανῆναι Marcellus; lacunam indicavit Koechly de par. 8.

ἡμετέρου γενετῆρος ἀτέρμονος ἄξια ῥέζω
— — — — — — — — — —
135 ἔργοις ἡμετέροις, τάπερ ἔδρακε μάρτυς ὀπωπή,
ὄφρα κε γινώσκοιτε θεοπνεύστῳ τινὶ μύθῳ,
ὡς ἐν ἐμοὶ τελέθει γενέτης ἐμός, ὅττι καὶ αὐτὸς
ἀγχιφανής, ἀμέριστος, ὁμόζυγός εἰμι τοκῆος.
Ἰησοῦν δ' ἀκίχητον ἐπειρήσαντο πιέζειν 39
140 ἀφραδέες τινὲς ἄνδρες· ὁ δὲ φθαμένῳ ποδὶ βαίνων
δυςσεβέων ἀπὸ χειρὸς Ἰορδανίοιο ῥεέθρου 40
πέζαν ἐς ἀντιπέραιαν ἐχάζετο. καί οἱ ἰόντι 41
ἄσπετος ὠμάρτησεν ὁμοστιχέων χορὸς ἀνδρῶν.
ἄλλῳ δ' ἄλλος ἔλεξε χέων πειθήμονα βουλήν·
145 θαῦμα μὲν ἐμπεδόμυθος ἰδεῖν θηήτορι λαῷ
οὐδὲν Ἰωάννης ἐπεδείκνυεν· ἀμφὶ δὲ τούτου
ὄμμασιν ἀπλανέεσσιν ἐτήτυμα πάντα δοκεύω,
ὁππόσα κεῖνος ἔλεξε· καὶ ἀνέρες αὐτόθι πολλοὶ 42
παιδὶ θεοῦ πίστευον ἀμιμήτων χάριν ἔργων.

ὁ πατὴρ κἀγὼ ἐν τῷ πατρί. 39. ἐζήτουν οὖν αὐτὸν πιάσαι· καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν, 40. καὶ ἀπῆλθεν πάλιν πέραν τοῦ Ἰορδάνου (εἰς τὸν τόπον ὅπου ἦν Ἰωάννης τὸ πρῶτον βαπτίζων, καὶ ἔμενεν ἐκεῖ). 41. καὶ πολλοὶ ἦλθον πρὸς αὐτὸν καὶ ἔλεγον· * Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν, πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ τούτου ἀληθῆ ἦν. 42. καὶ πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν ἐκεῖ.

---

post 134 talem fere versum excidisse
καὶ μὴ ἐμοὶ πείθεσθε, σοφοῖς πιστεύσατε μούνοις
Tiedke I 58 vidit. 135. inania molitur Marcellus. 141. Ἰορ-
Ἰορδάνοις

ΚΕΦ. Λ.

Ἦν δέ τις ἀδρανέων χλοερῷ πυρὶ Λάζαρος ἀνὴρ 1
Βηθανίης ἔντοσθεν ἀειδομένης ἀπὸ κώμης
Μάρθης καὶ Μαρίης. Μαρίη δ' ἐφατίζετο κείνη 2
Χριστοῦ καλλιέθειρα θεηδόκος, ἣ πόδας αὐτοῦ
5 ἀμφοτέρους ἤλειψε μύρου θυόεντος ἐέρσῃ
καὶ πλοκάμοις ἀπέμαξε καὶ ἀμβροσίων ἀπὸ ταρσῶν
ἀκροφανὴς ἐδίηνε διάβροχον ἰκμάδι χαίτην,
Χριστοῦ καλλιέθειρα θεηδόκος, ἧς τότε θερμῷ
νουσαλέῳ βαρύγουνος ἱμάσσετο σύγγονος ἀτμῷ.
10 γνωταὶ δ' ἀδρανέοντος ὁμόγνιον ὡς ἴδον ἄμφω 3
γυιοβόρῳ μάστιγι τετηκότα, γείτονα πότμου,
ξυνὸν ἔπος προέηκαν ἀλεξικάκῳ βασιλῆι·
Λάζαρος, ὃν φιλέεις, ἐλελίζεται αἴθοπι νούσῳ·
ὃν φιλέεις, σκοπίαζε. καὶ ἴαχε μῦθον ἀκούσας 4

---

1. Ἦν δέ τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης * Μαρίας καὶ Μάρθας * · 2. ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν κύριον μύρῳ καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν αὐτῆς, ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει. 3. ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ πρὸς αὐτὸν λέγουσαι· κύριε, ἴδε ὃν φιλεῖς ἀσθενεῖ. 4. ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν· αὕτη ἡ ἀσθένεια οὐκ ἔστιν πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ θεοῦ, ἵνα

---

1. ἀνδρανέων Pa χλοερῷ V νοσερῷ cet. et edd. περὶ τοῦ λαζάρου in marg. s. P. 2. βηθανὶς Pa. 3. δὲ φατίζετο vulgo; corr. Hermann cens. 998. cf. Tiedke I 39; ipse disserui Wiener Studien 1880 p. 40; versum excidisse suspicatus est Koechly de par. 8. 5. ἀμφοτέρως Marcellus. 6. καὶ Marcellus. 7. ἁβροφανὴς Marcellus. 8. καλλιέθειραν P. 10. ἀνδρανέοντος Pa. 11. γείτονα πότμου V γείτονι πότμου Ma γείτονι πότμῳ P γείτονι πότμῳ Pa.

15 Χριστὸς ἄναξ· οὐ φωτὸς ἐπ' ἀενάῳ τινὶ πότμῳ
νουσαλέον τόδε πῆμα πυρώπιδες ἤγαγον ὧραι,
ἀλλὰ θεοῦ τόδε κῦδος ὑπέρτερον, ὄφρα δι' αὐτοῦ
ἀνθρώπου φίλος υἱὸς ἄναξ ὑψούμενος εἴη
τιμαῖς ἀθανάτῃσι. φιλοξείνους δὲ γυναῖκας 5
20 Ἰησοῦς ἀγάπαζε φιλοστόργῳ τινὶ θεσμῷ,
Μάρθαν καὶ Μαρίην καὶ Λάζαρον. ἐν δ' ἄρα χώρῳ 6
ὡς κλύεν ἀγγελίης, ὅτι Λάζαρος Ἄϊδι νεύων
κέκλιτο νουσαλέῳ πεπεδημένος ἄψεα δεσμῷ,
διχθαδίης παράμειβε τελεσσιμόρου δρόμον ἠοῦς.
25 καὶ μετὰ δίζυγον ἦμαρ ἑοῖς ἀγόρευε μαθηταῖς· 7
ἴομεν εἰς κλυτὸν οὖδας Ἰουδαίων πάλιν ἀνδρῶν.
καί μιν ἀναστέλλοντες ἐπεφθέγξαντο μαθηταί· 8
ῥαββίν, Ἰουδαίης μανιώδεες ἄρτι πολῖται
λαϊνέοις μάστευον ὀιστεύειν σε βελέμνοις,
30 καὶ σὺ μολεῖν ἐθέλεις, ὅθι δήιοί εἰσι πολῖται;
Ἰησοῦς δ' ἀπάμειπτο παρηγορέων τινὶ μύθῳ 9

δοξασθῇ ὁ υἱὸς τοῦ *ἀνθρώπου δι' αὐτῆς. 5. ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν ἀδελφὴν αὐτῆς καὶ τὸν Λάζαρον. 6. ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν *ἐπὶ τῷ τόπῳ δύο ἡμέρας· 7. ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς *αὐτοῦ· ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. 8. λέγουσιν αὐτῷ οἱ μαθηταί· *ῥαββί, νῦν ἐζήτουν σε λιθάσαι οἱ Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; 9. ἀπεκρίθη Ἰησοῦς· οὐχὶ δώδεκα ὧραί εἰσιν τῆς ἡμέρας; ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ

ξυνὸν ὁμωροφίων νεμεσήμονα θυμὸν ἑταίρων·
ἤματος οὐ γεγάασι δυώδεκα κυκλάδες ὧραι;
ἤματος ἀντέλλοντος ὁδοιπόρος οὔποτε κάμπτει
35 ταρσὸν ὀλισθηροῖσι περιπταίοντα πεδίλοις.
ὃς δὲ διαστείχει λιποφεγγέι σύνδρομος ὄρφνῃ 10
ποσσὶ χαριζομένοις, σφαλερὴν ὁδὸν οὗτος ὁδεύει.
ὣς φάτο· καὶ μετὰ τοῦτο παλίσσυτος εἶπε μαθη-
ταῖς· 11
ὕπνον ἀναγκαῖον καὶ ἀμεμφέα Λάζαρος εὕδει,
40 φίλτατος ἡμείων ξεινηδόκος· ἀλλὰ περήσω,
ὄφρα μιν ἐξ ὕπνοιο παλινδίνητον ἐγείρω.
καὶ λόγον ἀγνώσσοντες ἐμυθήσαντο μαθηταί· 12
Λάζαρος εἰ κνώσσει, σόος ἔσσεται. ἀρτιθανῆ μὲν 13
Ἰησοῦς ἀγόρευε φιλοθρήνῳ παρὰ τύμβῳ
45 εὕδειν νεκρὸν ἄναυδον, ἀνήγρετον ὕπνον ὀλέθρου·
οἱ δὲ μάτην ἔλποντο, φίλον νέκυν ἔνδοθεν οἴκου
ἡδὺν ὑπὲρ λεχέων παλινάγρετον ὕπνον ἰαύειν.

προσκόπτει (ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει)· 10. ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτί, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν *αὐτῇ. 11. ταῦτα εἶπεν, καὶ μετὰ τοῦτο λέγει αὐτοῖς· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν. 12. εἶπον οὖν αὐτῷ οἱ μαθηταί· κύριε, εἰ κεκοίμηται, σωθήσεται. 13. εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ· ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει.

---

34. κόπτει Marcellus. 35. περιπταίοντα V παραπταίοντα cet. et edd. 37. χρονιζομένοις Hermann cens. 998. 38. παλίλλυτος Marcellus. 39. ἀστεμφέα Marcellus. cf. Tiedke Herm. XIII, 271. 40. ὑμείων Pa ξεινοδόκος VA corr. Stephanus. 41. παλιδήνητον V. 44. ἀγόρευε φιλοθρήνῳ V ἀγόρευε καὶ φιλ. cet. et edd. corr. Bogardus. 46. ἔνδοθι Pa.

ἀμφαδίην δ' ἀγόρευεν ἄναξ οἰκτίρμονι μύθῳ· 14
Λάζαρον εὕνασε πότμος ὁμοίιος, ἄγριον ἄλλον
ὕπνον ἄγων. χαίρω δὲ δι' ὑμέας, ὡς ἐνὶ χώρῳ 15
οὐ γενόμην, ὅτε κεῖνος ὁμίλεε γείτονι πότμῳ,
ὄφρα κε πίστιν ἔχοιτε νέκυν μετὰ πότμον ὁδίτην
δερκόμενοι ζώοντα, πάλιν ψαύοντα τραπέζης
ξεινοδόκον Χριστοῖο τὸ δεύτερον· ἀλλὰ πρὸς αὐτὸν
ἴομεν. εἰςαῖων δὲ διώνυμος ἔννεπε Θωμᾶς, 16
ὃν Δίδυμον καλέουσι· συναγρομένοις δὲ μαθηταῖς
δάκρυον ὠδίνουσαν ἀνήρυγε πενθάδα φωνήν·
ἴομεν, ὁππόθι κεῖνος ἀνὴρ γλυκύς, ὄφρα σὺν αὐτῷ
εἰν ἀγάπῃ θνήσκοιμεν ἑνὶ ξυνήονι πότμῳ.
ἐλθὼν δ' ὀψικέλευθος ἄναξ ἐς ἐθήμονα κώμην, 17
Λάζαρον ἄπνοον εὗρε χυτῇ στρωθέντα κονίῃ,
τέτρατον ἦμαρ ἔχοντα γοήμονος ἔνδοθι τύμβου.
Βηθανίη δ' ἑκὰς ἦεν ἀπ' ἄστεος Ἱροσολύμων 18
ὡς τρισσῶν σταδίων καὶ δώδεκα. καὶ πολὺς ἕρπων 19
λαὸς Ἰουδαίων ὑπεδύσατο γείτονα κώμην.

---

14. τότε οὖν εἶπεν * ὁ Ἰησοῦς παρρησίᾳ· Λάζαρος ἀπέθανεν, 15. καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἦμην ἐκεῖ· ἀλλὰ ἄγωμεν πρὸς αὐτόν. 16. εἶπεν οὖν Θωμᾶς ὁ λεγόμενος Δίδυμος τοῖς συνμαθητοῖς· ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ. 17. ἐλθὼν οὖν ὁ Ἰησοῦς εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἔχοντα ἐν τῷ μνημείῳ. 18. ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσολύμων, ὡς ἀπὸ σταδίων δεκαπέντε. 19. *καὶ πολλοὶ ἐκ τῶν Ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς περὶ Μάρθαν καὶ Μαριάμ, ἵνα παραμυθήσωνται αὐτὰς (περὶ τοῦ

κεῖθι φιλοξείνοιο μετήιε δώματα Μάρθης
καὶ Μαρίης, γνωτοῖο κατευναστήρια πότμου,
ξυνὰ παρηγορέων, τάπερ ἠθάδι πολλάκι μύθῳ
φρικτὰ πεπαινομένης ἀπεσείσατο κέντρα μερίμνης,
70 πένθεος ἀγρύπνοιο λυτήρια. πευθομένη δὲ 20
φήμης σπειρομένης ὅτι κοίρανος εἰςαφικάνει
Μάρθα, ποσὶ φθαμένοισι συνήντεεν. ἐν δὲ με-
λάθρῳ
ἐνδόμυχος Μαρίη μαστίζετο πενθάδι σιγῇ.
Χριστοῦ δ' ἐγγὺς ἰοῦσα βαρύστονος ἔννεπε Μάρθα· 21
75 ὦ μάκαρ, εἰ παρέης, ὅτε Λάζαρος αἴθετο νούσῳ,
οὐκ ἂν ἐμὸς τέθνηκεν ἀδελφεός. οἶδα δὲ θυμῷ, 22
καὶ νῦν ὡς ἅμα πάντα πατὴρ θεὸς ἐγγυαλίξει,
ὅσσα μιν αἰτήσειας. ἄναξ δ' ἠμείβετο μύθῳ· 23
γνωτὸς σὸς παλίνορσος ἐγείρεται. ἀμβροσίης δὲ 24
80 φωνῆς εἰςαΐουσα τὸ δεύτερον ἔννεπε Μάρθα·
οἶδα καὶ οὔ με λέληθεν ἀνάστασις, ὡς ἐν ἐκείνῃ
ἔγρεται ὀψιτέλεστος, ὅτε δρόμος ἔσχατος ἠοῦς.

ἀδελφοῦ). 20. ἡ οὖν Μάρθα ὡς ἤκουσεν ὅτι Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ· Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. 21. εἶπεν οὖν ἡ Μάρθα πρὸς Ἰησοῦν· κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ὁ ἀδελφός μου. 22. καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θεὸν δώσει σοι ὁ θεός. 23. λέγει αὐτῇ ὁ Ἰησοῦς· ἀναστήσεται ὁ ἀδελφός σου. 24. λέγει αὐτῷ ἡ Μάρθα· οἶδα ὅτι ἀνα-

---

69. ἀπεσείσατο κέντρα μερίμνης πένθεος ἀγρύπνοιο λυτήρια· πευθομένη δὲ φήμης om. et in marg. adscripta sunt P φρικτὰ πεπαινομένης om. sed in marg. nota est et ad v. 71 haec verba leguntur Pa. 75. εἴπερ ἔης VMaPa εἴπερ ἔης sed in marg. εἰ παρέης P. 76. τεθνήκει Hermann cens. 998; quod reiecit Lehrs l. c. 274. 77. θεὸς V τεὸς cet. et edd. 81. ἐνὶ κείνῃ *Ludwich Mus.* Rhen. 35, 502.

καί οἱ Χριστὸς ἔλεξε βιοσσόος ἔνθεον ὀμφήν· 25
ζωὴ ἐγὼ γενόμην καὶ ἀνάστασις· ὃς δέ κεν ἀνὴρ
85 εἰς ἐμὲ πιστεύσειε, καὶ εἰ νέκυς ἄπνοος εἴη,
αὖτις ἀναζήσειε· καὶ ὃς φρεσὶ πίστιν ἀέξει, 26
οὐ θνήσκει βροτὸς οὗτος, ἕως ἔτι φαίνεται αἰών·
πείθεαι, ὡς ὅδε μῦθος ἐτήτυμος; εἶπε καὶ αὐτή· 27
κοίρανε, γινώσκω καὶ πείθομαι, ὅττι σὺ κόσμῳ
90 Χριστὸς ἀλεξικάκοιο θεοῦ λόγος υἱὸς ἱκάνεις.
τοῖον ἔπος λέξασα παρέστιχεν ὀξέι ταρσῷ 28
καὶ Μαρίην ἐκάλεσσεν ὁμόγνιον· οὔασι δ' αὐτῆς
λάθριον ἐψιθύριζε· διδάσκαλος ὅττι σαωτὴρ
ἵκετο καὶ καλέει σε. καὶ ὠκυτέρη πέλε μύθου 29
95 κείνη, ὅπως ἤκουσε, θοῷ δ' ἀνεπάλλετο ταρσῷ,
πένθεϊ λυομένη καὶ χάρματι· φοιταλέη δὲ
Χριστὸν ἐς ἀγχικέλευθον ἀελλοπὸν εἶχε πορείην.

στήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. 25. εἶπεν αὐτῇ ὁ Ἰησοῦς· ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται, 26. καὶ πᾶς ὁ * πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. πιστεύεις τοῦτο; 27. λέγει *αὐτή· ναὶ κύριε, ἐγὼ πεπίστευκα ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ εἰς τὸν κόσμον ἐρχόμενος. 28. καὶ ταῦτα εἰποῦσα ἀπῆλθεν καὶ ἐφώνησεν Μαριὰμ τὴν ἀδελφὴν αὐτῆς λάθρα εἰποῦσα· ὁ διδάσκαλος πάρεστιν καὶ φωνεῖ σε. 29. ἐκείνη ὡς ἤκουσεν, *ἠγέρθη ταχὺ καὶ

---

83. post βιοσσόος exhibet καὶ Pa. 87. ἕως] καὶ Pa. 88. πείθεε P Pa corr. Bogardus. 91. τοῖος Pa λέξουσα V. 93. λάθριος

λαοὶ δ', οἵ τινες ἦσαν ἔσω κινυροῖο μελάθρου 31
καί μιν ἐλαφρίζεσκον ἀκεσσιπόνῳ τινὶ μύθῳ,
100 πένθεος ἀγρύπνοιο παρήγοροι, ὡς ἴδον ἄφνω,
ὡς Μαρίη ταχύγουνος ἀνέγρετο φοιτάδι σιγῇ,
πάντες ἐφωμάρτησαν ὀπισθοπόροισι πεδίλοις,
ἐλπόμενοι Μαρίην φιλοδάκρυον ὅττι θοροῦσα
ἐξαπίνης ἤμελλεν ἐς ἠθάδα τύμβον ὁδεύειν,
105 ὄφρα πάλιν κλαύσειε πολυθρήνῳ παρὰ νεκρῷ·
οὔπω δ' εὐρυάλωος ἄναξ ἐπεβήσατο κώμης,
ἀλλὰ μένων ἀτίνακτος ἔτι ζαθέῳ παρὰ χώρῳ
εἶχε ποδὸς στατὸν ἴχνος, ὅπῃ πάρος ἤντετο Μάρθα.
καὶ Μαρίη βαρύδακρυς ὅτε σχεδὸν ἵκετο χώρου, 32
110 ᾖχι μένων ποδὸς ἴχνος ἀκαμπέος εἶχεν Ἰησοῦς,
αὐτὸν ὅπως ἐνόησεν, ἱμασσομένη φρένα κέντρῳ
πρηνὴς αὐτοκύλιστος ὑπὲρ δαπέδοιο πεσοῦσα
πὰρ ποσὶν ἀμβροσίοις ἐπεκέκλιτο. μυρομένη δὲ
ἰκμάδι πενθαλέῃ ζαθέους ἐδιήνατο ταρσοὺς

---

*ἤρχετο πρὸς αὐτόν· 30. οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην, ἀλλ' ἦν *ἔτι ἐν τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ Μάρθα. 31. οἱ οὖν Ἰουδαῖοι οἱ ὄντες μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ παραμυθούμενοι αὐτήν, ἰδόντες τὴν Μαριάμ, ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐτῇ, δόξαντες ὅτι ὑπάγει εἰς τὸ μνημεῖον, ἵνα κλαύσῃ ἐκεῖ. 32. ἡ οὖν Μαρία ὡς ἦλθεν ὅπου ἦν Ἰησοῦς, ἰδοῦσα αὐτὸν ἔπεσεν αὐτοῦ εἰς τοὺς πόδας, λέγουσα αὐτῷ· κύριε, εἰ ἦς ὧδε, οὐκ ἄν μου ἀπέθανεν ὁ

---

98. λαοὶ] ἄλλοι Koechly de par. 21. 99. ἀκεσιπόνῳ MaPPa corr. Bogardus. 100. πένθεος postea lacuna V. 102. ὀπισθοτέροισι Marcellus. 105. παρὰ V περὶ cet. et edd. 106—108 post 97 fortasse ponendi sunt. 107. χωρῷ V χώρου e corr. Ma. 108. Μάρθη vulgo. cf. v. 80; ipse correxi. 109. χώρου e corr. antea χώρης Ma χώρης supra m. 2 φώρου P. 111. αὐτοῦ PPa.

115 μῦθον ἐρευγομένη βεβιημένον· ἐκ φάρυγος δὲ
δάκρυσι νικηθεῖσα μόγις πορθμεύετο φωνή·
ὦ μάκαρ, εἰ παρέης, οὐ Λάζαρος εἴκαθε πότμῳ.
καὶ Μαρίην στενάχουσαν ἰδὼν καὶ ὁμήλυδας
αὐτῇ 33
υἷας Ἰουδαίων νεοπενθέας, ὧν ὑπὸ πολλῷ
120 ὄμβρῳ δακρυόεντι περιρραίνοντο παρειαί,
πνεύματι πατρῴῳ δεδονημένος ἴαχε φωνήν· 34
δείξατέ μοι, πόθι κεῖνον ἐθήκατε. καὶ φάσαν
αὐτῷ· 35
ἔρχεο καὶ σκοπίαζε. καὶ ἔστενεν αὐτὸς Ἰησοῦς
ὄμμασιν ἀκλαύτοισιν ἀήθεα δάκρυα λείβων.
125 καί τινες ἀθρήσαντες ἀνίαχον αὐτίκα λαοί· 36
ἠνίδε, πῶς φιλέει καὶ Λάζαρον οὐ παρεόντα.
ἄλλοι δ' ἀντιάχησαν· ἀλεξικάκῳ τινὶ πηλῷ 37
ὀφθαλμοὺς μερόπων λιποφεγγέας οὗτος ἀνοίξας
ἔργον ἴσον τελέειν οὐκ ἔσθενεν, ὄφρα καὶ αὐτὸς
130 μὴ φονίῳ νέκυς οὗτος ὁμιλήσειεν ὀλέθρῳ;
τοῖα μὲν εἶπεν ἕκαστος· ἐπειγομένῳ δὲ πεδίλῳ 38

ἀδελφός. 33. Ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν καὶ τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας, *ἐταράχθη τῷ πνεύματι (*ὡς ἐμβριμώμενος). 34. καὶ εἶπεν· ποῦ τεθείκατε αὐτόν; 35. λέγουσιν αὐτῷ· κύριε, ἔρχου καὶ ἴδε. *καὶ ἐδάκρυσεν ὁ Ἰησοῦς. 36. ἔλεγον οὖν οἱ Ἰουδαῖοι· ἴδε πῶς ἐφίλει αὐτόν. 37. τινὲς δὲ ἐξ αὐτῶν εἶπον· οὐκ ἐδύνατο οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; 38. Ἰησοῦς οὖν * ἐμβριμώμενος ἐν ἑαυτῷ ἔρχεται *ἐπὶ τὸ μνημεῖον· ἦν δὲ σπήλαιον καὶ λίθος ἐπ'

ἀχνυμένης βριμηδὸν ἀπὸ φρενὸς οἶκτον ἀνέλκων
Ἰησοῦς πεφόρητο καὶ ἧιεν ἐγγύθι τύμβου.
καὶ χθόνιον σπέος ἦεν ἔσω γλαφυροῖο μελάθρου,
καὶ λίθος ἀντιτύποιο φέρων μίμημα θυρέτρου,
ἀμφιπαγής, ἰσόμετρος ἐρείδετο χάσματι τύμβου.
Ἰησοῦς δ' ἐκέλευσεν ἄναξ πειθήμονι λαῷ· 39
λᾶαν ὑπωροφίοιο μεταστήσασθε μελάθρου.
Μάρθα δὲ τεθνειῶτος ὁμόγνιος ἴαχε φωνήν·
κείμενον ἀντιθύρετρον ἔα λίθον· οἰγομένου γὰρ
χάσματος οὐδαίοιο δυςήνεμος ἔρχεται ὀδμή,
ὅττι τεταρταῖος τελέθει νέκυς ἔνδοθι τύμβου.
Ἰησοῦς δ' ἀπάμειπτο καὶ ἔννεπε πενθάδι Μάρθῃ· 40
οὐ σοὶ τοῦτο πάρος διεπέφραδον· αἶκε φυλάξῃς
χείλεσιν ὑμετέροισι σοφὴν σφρηγῖδα σιωπῆς,
ὀρθὴν πίστιν ἔχουσα καὶ οὐ διχόμητις ἐοῦσα,
ὄψεαι οὐρανίοιο θεοῦ ζωαρκέα τιμήν.
οἱ μὲν λᾶαν ἄειραν· ἄναξ δ' ἀντώπιος ἄστρων 41
ὀφθαλμοὺς ἀνάειρεν, ἑῷ δ' ἰάχησε τοκῆι·
σοὶ χάρις, ὡς ἐμέθεν πάτερ ἔκλυες· οἶδα δὲ
θυμῷ, 42

ἐπ' αὐτῷ. 39. λέγει Ἰησοῦς· ἄρατε τὸν λίθον. λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τετελευτηκότος Μάρθα· κύριε, ἤδη ὄζει· τεταρταῖος γάρ ἐστιν. 40. λέγει αὐτῇ ὁ Ἰησοῦς· οὐκ εἶπόν σοι, ὅτι ἐὰν πιστεύσῃς ὄψῃ τὴν δόξαν τοῦ θεοῦ; 41. ἦραν οὖν τὸν λίθον· ὁ δὲ Ἰησοῦς ἦρεν τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπεν· πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου. 42. ἐγὼ δὲ ἤδειν ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τὸν *παρεστῶτα εἶπον, ἵνα

138. ὑποροφίοιο V. 141. ἰουδαίοιο PPa corr. Iuvenis. 144. πάρος τοῦτο VMa; in hoc rectus ordo indicatus est. *149. ἰάχησε V ἐβόησε* cet. et edd.

ὡς ἐμέθεν βοόωντος ἀεὶ σέο παιδὸς ἀκούεις·
ἀλλὰ χάριν λαοῖο παρισταμένοιο πιφαύσκω,
ὄφρα κε πίστιν ἔχοιεν ἀρείονα μᾶλλον ἀκούειν,
ὅττι σύ με προέηκας, ἐςαθρήσαντες ὀπωπαῖς
155 νεκρὸν ἀελλήεντα διαστείχοντα βερέθρου,
ἱλλόμενον δεσμοῖσι καὶ οὐ πίπτοντα κονίῃ.
εἶπε καὶ ἐσμαράγησε διαπρυσίῃ τινὶ φωνῇ· 43
ἔξιθι, Λάζαρε, δεῦρο. λιποφθόγγοιο δὲ νεκροῦ
ἄπνοον ἐψύχωσε δέμας νεκυοσσόος ἠχώ·
160 ἄπνοον ἄνδρα κάλεσσε, καὶ ἔτρεχε νεκρὸς ὀδίτης 44
στείχων αὐτοκέλευθος ὁμοπλέκτῳ χθόνα ταρσῷ·
ἄπνοον ἄνδρα κάλεσσε, καὶ ἐν φθιμένοισιν ἀκούσας
ἐξ Ἄϊδος νόστησε φυγὰς νέκυς ὄψιμον ἄλλην
ἀθρήσας μετὰ τέρμα βίου παλινάγρετον ἀρχὴν
165 θαμβαλέην. Ἀΐδης δὲ μάτην παρὰ γείτονι Λήθῃ
πανδαμάτωρ ἀδάμαστον ἐδίζετο νεκρὸν ἀλήτην·
καὶ ποδὸς ὀρθωθέντος ἀκαμπέα γούνατα σύρων,
τυφλὴν ἰθυκέλευθον ἔχων ἀντώπιον ὁρμὴν
αὐδήεις νέκυς ἔσκε καὶ ἐκ ποδὸς ἄχρι καρήνου
170 σφιγγόμενον πλεκτῆσιν ὅλον δέμας εἶχε κερείαις
θερμὸν ἔχων ἱδρῶτα καλυπτομένοιο προςώπου·

πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. 43. καὶ ταῦτα εἰπὼν φωνῇ μεγάλῃ ἐκραύγασεν· Λάζαρε, δεῦρο ἔξω. 44. *καὶ ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις, καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο. λέγει [illegible]

καὶ λινέῳ πεπύκαστο καλύμματι κυκλάδα κόρσην,
σουδάριον τόπερ εἶπε Σύρων στόμα· θαμβαλέῳ δὲ
ἱσταμένῳ νεφεληδὸν ἄναξ ἐπετέλλετο λαῷ·
175 λύσατέ μοι καὶ κοῦφον ἐάσατε νεκρὸν ὁδεύειν.
ὣς φαμένου βασιλῆος ὁμόζυγες αὐτίκα λαοὶ
καὶ μιγάδες ῥήξαντο παλίλλυτα δεσμὰ κερείης
καὶ μελέων βαρύδεσμον ἐγυμνώσαντο καλύπτρην·
καὶ νέκυς εἰς δόμον ἦλθε τὸ δεύτερον ἠθάδι ταρσῷ
180 φέγγος ἰδὼν πεμπταῖον. Ἰουδαίων δ' ἄρα πολλοὶ 45
Μάρθης καὶ Μαρίης ἐπὶ πένθιμον οἶκον ἰόντες
παιδὶ θεοῦ πίστευον ἐσαθρήσαντες ὀπωπαῖς,
κοίρανος ἔργον ἄπιστον ὅπερ κάμε, νεκρὸν ἐγείρας
Λάζαρον ἀχλυόεντος ἀναθρώσκοντα βερέθρου
185 νόστιμον ἐκ νεκύων ταχινῷ ποδί. καί τινες
αὐτῶν 46
εἰς πόλιν ἴχνος ἔκαμψαν ἐς ἀντιθέους ἱερῆας
πληθύι κηρύσσοντες ἀπιστοτάτων Φαρισαίων
ἔργα θεοῦ Χριστοῖο. καὶ ἄφρονες ἀρχιερῆες 47
εἰς ἀγορὴν ἀγέροντο πολύθροον, ἦχι γερόντων
190 εἰς ἓν ἀγειρομένων πρωτόθρονος ἕζετο βουλή.

λύσατε * καὶ ἄφετε αὐτὸν ὑπάγειν. 45. πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων, οἱ ἐλθόντες πρὸς τὴν Μαριὰμ καὶ θεασάμενοι *ὃ ἐποίησεν, ἐπίστευσαν εἰς αὐτόν· 46. τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς Φαρισαίους καὶ εἶπον αὐτοῖς, ἃ ἐποίησεν Ἰησοῦς. 47. συνήγαγον οὖν οἱ ἀρχιερεῖς (καὶ οἱ Φαρισαῖοι) συνέδριον καὶ ἔλεγον· τί ποιοῦμεν, ὅτι οὗτος ὁ

---

174. στεφανηδὸν Marcellus. cf. Ludwich Beitr. 86. 175. cf. Tiedke I 14. 177. μιγάδος vulgo; correxit Sylburg. παλίλυτα PPa; corr. Iuvenis. κεραίης V κυρείης Pa. 189. γερόντ ceterae literae contectae sunt V.

ἄλλῳ δ' ἄλλος ἔειπε· τί ῥέζομεν; ἀντίπαλος γὰρ
ἀλλοφανῆ βροτὸς οὗτος ὑπέρτερα σήματα φαίνει.
εἰ δέ ἑ καλλείψοιμεν ὁμοίια σήματα ῥέζειν, 48
ἡμῖν οὐκέτι λαὸς ἐφέσπεται, ἀλλ' ἑνὶ μούνῳ
195 ἀνέρι πιστεύοντες ὁμαρτήσουσι πολῖται,
πάντες ὁμαρτήσουσι· καὶ ἀνέρες Αὐσονιῆες
ἡμείων ὅλον ἔθνος ἀφαρπάξουσι μολόντες,
ἔθνος ὁμοῦ καὶ χῶρον. ἀνὴρ δέ τις ἦεν ἐν αὐτοῖς 49
Καϊάφας, ἀθέμιστος, ἐπίκλοπος, ὃς τότε κείνου
200 ἀρχιερεὺς λυκάβαντος ἔην, ὀχετηγὸς ἑορτῆς.
οὗτος Ἰουδαίοισι δολόπλοκον ἴαχε φωνήν·
οὐδὲν ἀπειρήτῳ πεπνυμένον ἴστε μενοινῇ
οὐδὲ νόῳ φράζεσθε, τί φέρτερον· ὅττι πολίτην 50
καλὸν ὑπὲρ λαοῖο θανεῖν ἕνα, μὴ χάριν αὐτοῦ
205 ἡμείων ὅλον ἔθνος ὀλισθήσειεν ὀλέθρῳ·
ἀνδρὸς ἑνὸς θνήσκοντος ὅλη πόλις εὔδιος ἔσται.
αὐτόματος δ' οὐ τοῦτο θεοπρόπος ἔννεπεν ἀνήρ, 51
ἀλλὰ θυηπολίῃ μεμελημένος, οἷά τε κείνου

ἄνθρωπος πολλὰ ποιεῖ σημεῖα; 48. ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, πάντες πιστεύσουσιν εἰς αὐτόν, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος. 49. εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς· ὑμεῖς οὐκ οἴδατε οὐδέν, 50. οὐδὲ λογίζεσθε ὅτι συμφέρει * ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. 51. τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου ἐπροφήτευσεν ὅτι ἤμελλεν Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους,

ἀρητὴρ λυκάβαντος, ἀληθέι θέσπισε φωνῇ,
210 ὅττι θανεῖν ἤμελλεν ἑκὼν ζωαρκέι πότμῳ
Χριστὸς Ἰουδαίων ὑπὲρ ἔθνεος. οὐ περὶ μούνου 52
ἔθνεος, ἀλλ' ἵνα τέκνα θεοῦ κεκεδασμένα κόσμῳ
εἰς ἓν ἀολλίσσειεν. ἀπ' ἀρχεκάκοιο δὲ κείνης 53
ὥρης μῆτιν ὕφαινον ἀναιδέες ἀρχιερῆες
215 καὶ χορὸς ἀγκυλόμητις ἀπιστοτάτων Φαρισαίων,
Ἰησοῦν ἵνα πάντες ἑνὶ κτείνωσιν ὀλέθρῳ.
οὐκέτι δ' ἀμφαδίην λαοσσόος εἶχε πορείην 54
Χριστὸς ἐν Ἑβραίοισιν· ἀδουπήτῳ δὲ πεδίλῳ
ἁγνὸν Ἰουδαίης παρεμέτρεε κόλπον ἀρούρης·
220 χώρης δ' ἔντος ἵκανεν ὀρειάδος ἐγγὺς ἐρήμου
εἰς πόλιν, ὁππόθι μίμνε σὺν ἀντιθέοισι μαθηταῖς,
Ἐφραὶμ τὴν καλέουσι. καὶ ἐγγύθεν ἦεν ἑορτὴ 55
πάσχα πολυκλήιστον· ἀπ' εὐρυάλοιο δὲ γαίης
πολλοὶ Ἰουδαίων ὁμοτέρμονες ἄνδρες ἐρήμου
225 μυστιπόλων ἀνέβαινον ἐς ἔδρανον Ἱροσολύμων,

52. καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν. 53. ἀπ' ἐκείνης οὖν τῆς *ὥρας ἐβουλεύσαντο ἵνα ἀποκτείνωσιν αὐτόν. 54. Ἰησοῦς οὖν οὐκέτι παρρησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραὶμ λεγομένην πόλιν, κἀκεῖ *ἔμεινεν μετὰ τῶν μαθητῶν. 55. ἦν δὲ ἐγγὺς τὸ πάσχα *ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβησαν πολλοὶ εἰς Ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα, ἵνα ἁγνίσωσιν

209. ἀήθεϊ vulgo; ἀειδέϊ Marcellus; ipse correxi. 213. ἓν om. Pa ἀολλήσειεν V ὅτι in marg. δὲ Pa. 216. ἑνὶ Pa. 217. οὐκέτ' ἀμφαδίην Pa. 219. priores duae voces contectae sunt V. 220. δ' om. MaPPa et edd. e coni. restituit Hermann cens. 998. ἐγγὺς vulgo; corr. Tiedke I 30. Marcellus χῶραν ἐκεῖθεν (!). 221. εἰς paene evanuit V. 222. Ἐφρὲμ *primae edd. corr.* Sylburg. 225. ἔδραν V ἱεροσολύμων Pa.

ὄφρα προφοιβήσωσι δέμας ζαθέοισι καθαρμοῖς,
πρίν περ ἀσιγήτοιο φανήμεναι ἦμαρ ἑορτῆς.
καὶ πολέες δίζοντο θυώδεος ἔνδοθι νηοῦ 56
Ἰησοῦν ἀπεόντα θεηγόρον· ἑσταότες δὲ
230 ἀλλήλοις ὀάριζον· ἐπεφθέγγοντο δὲ λαοί·
ὑμῖν φραζομένοισι τί φαίνεται; ὅττι περῆσαι
οὐ δύναται βροτὸς οὗτος ἐς ἀρτιχόρευτον ἑορτήν.
καὶ ναέταις ἐπέτελλον ἀπειθέες ἀρχιερῆες 57
καὶ χορὸς ἀγκυλόμητις ὑπερφιάλων Φαρισαίων,
235 ὄφρα μιν ὅστις ἴδοιτο κατὰ πτόλιν ἢ καὶ ἀκούσοι,
πληθύι κηρύξειε δολορραφέων Φαρισαίων,
ὄφρα μιν ἐχθρὸς ὅμιλος ἀποκτείνειε πιέσσας.

ΚΕΦ. Μ.

Χώρης δ' εὐρυάλωος ἐρημάδα πέζαν ἐάσας 1
Ἰησοῦς ἀκίχητος ἐθήμονα δύσατο κώμην,
δύσατο Βηθανίην, ὅθι Λάζαρον ἐκτόθι τύμβου

ἑαυτούς. 56. ἐζήτουν οὖν τὸν Ἰησοῦν, καὶ ἔλεγον μετ' ἀλλήλων ἐν τῷ ἱερῷ ἑστηκότες· τί δοκεῖ ὑμῖν, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν; 57. δεδώκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἐντολὰς ἵνα ἐάν τις γνῷ ποῦ ἔστιν μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν.

1. Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὃν ἤγειρεν ἐκ νεκρῶν ὁ Ἰησοῦς.

---

226. προφοιβάσωσι A (fortasse ex P, in quo non satis discerni potest, utrum προφοιβήσωσι an προφοιβάσωσιν scriptum sit); προφοιβάσσωσι Passow. 228. ἔνδοθι V ἔνδοθεν cet.; primae edd. ἔνδοθε, quod

ἐκ νεκύων ἤγειρε χέων ψυχοστόλον ἠχώ·
5 δύσατο Βηθανίην, ὅτε γείτονος εἶχον ἑορτῆς
ἓξ πάρος ἤματα μοῦνα λελειμμένα μύστιδες ὧραι.
καί οἱ δόρπον ἔθεντο· φιλοστόργῳ δὲ μενοινῇ 2
Μάρθα διακτορίην πολυχανδέος εἶχε τραπέζης·
εἷς δ' ἦν δαιτυμόνων ἔτι Λάζαρος, ἶσος ὀνείρῳ,
10 πασιφανής. Μαρίη δὲ μύρου θυόεντος ἑλοῦσα 3
πιστικῆς τρία μέτρα φατιζομένης ἀπὸ νάρδου
μάρμαρον ἠέρταζε βεβυσμένον ἄγγος ἐέρσης
ἠύκομος Μαρίη καὶ δαινυμένου βασιλῆος
θεσπεσίους ἤλειψε μύρῳ πόδας· ἐκταδίη δὲ
15 ἰκμάδα πιαλέην ἀπεμάξατο μαχλάδι χαίτῃ·
νηχομένη δ' ἐμέθυσσεν ὅλον δόμον ἔνθεος ὀδμή.
17 καὶ φθονεροῖς στομάτεσσι δολοπλόκος εἶπεν Ἰούδας· 4
19 τίπτε τριηκοσίων οὐ πέρναται ἤ τινι μέτρῳ 5

---

2. ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει, ὁ δὲ Λάζαρος εἷς ἦν τῶν ἀνακειμένων * . 3. ἡ οὖν Μαρία λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς * ἤλειψεν τοὺς πόδας τοῦ Ἰησοῦ καὶ ἐξέμαξεν ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ· ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. 4. λέγει *οὖν (εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ) Ἰούδας (Σίμωνος Ἰσκαριώτης, ὁ μέλλων αὐτὸν παραδιδόναι), 5. διὰ τί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων καὶ ἐδόθη πτωχοῖς;

---

4. 77. ψυχοσσόον Marcellus. 5. χείτονος Ma εἶλον Pa. 6. μύστιδες codd. om. A. κυκλάδες Bogardus. 10. περὶ τῆς ἀλειψάσης τὸν κοίρανον μύρῳ in marg. sin. P. 11. πιστοτάτης quod Passow coniecerat, refutavit Hermann cens. 995 νάρδου ultimae quattuor literae contectae sunt V. 12. ἐέρσης ultimae duae lit. contectae sunt V. 13. Χριστοῖο δὲ δαινυμένοιο Tiedke I 13 (dubitanter); refutavit Ludwich N. J. 1874 p. 449. 16. ἐμέθυσεν V. 18. inseruit Bordatus:
ὅς μιαροῖς μιν ἔμελλεν Ἰουδαίοισι προδώσειν.

20 πλείονι δηναρίων τόδε που μύρον, ὄφρα δοθείη
πτωχοῖς δευομένοισι καὶ οὐ στροφάλιγγι κονίης;
τοῦτο δὲ κεῖνος ἔλεξε δολοπλόκος, οὐχ ὅτι φωτῶν 6
ἀκτεάνων ἀλέγιζεν ἀμείλιχος, ἀλλ' ὅτι μοῦνον
κλέπτης ἦν κτεάνων νικώμενος· εἶχε δὲ κίστην,
25 τῇ ἔνι χαλκὸς ἔκειτο· καὶ ὁππόσα βούλετο, χηλῷ
αὐτὸς ἀνηέρταζε φύλαξ κακός. ἀλλά ἑ μύθῳ 7
Ἰησοῦς ἀνέκοψεν, ἑῷ δ' ἀγόρευε φονῆι·
θηλυτέρης λίπε δῶρον ἀμεμφέος, ὄφρα φυλάξῃ
σώματος ἡμετέρου κειμήλιον, εἰςόκεν ἔλθῃ
30 φοίνιος ἡμετέρων κτερέων ἐπιτύμβιος ὥρη.
πτωχοὶ γὰρ παρέασιν ἀπείρονες αἰὲν ἑτοῖμοι 8
ὑμῖν διζομένοισιν· ἐπειγόμενοι δέ με λεύσσειν
οὐκ αἰεὶ παρεόντα κιχήσετε. πιστότατος δὲ 9
λαὸς Ἰουδαίων ἀγχίπτολις ἔκλυε φήμης
35 οὕασι τερπομένοις, ὅτι νόστιμος ἦλθεν Ἰησοῦς
ἔνθεον ἴχνος ἔχων ἐπιδήμιον ἠθάδι κώμῃ,
Μάρθης ὁππόθι δῶμα. καὶ ἔτρεχεν ἐσμὸς ὁδίτης
ἄσπετος, ἄλλοθεν ἄλλος ὁμόστολος, οὐχ ἵνα μοῦνον
Ἰησοῦν ἐςίδοιτο βιοσσόον, ἀλλὰ καὶ αὐτὸν

---

6. εἶπεν δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν καὶ τὸ γλωσσόκομον *εἶχεν καὶ τὰ βαλλόμενα ἐβάσταζεν. 7. εἶπεν οὖν ὁ Ἰησοῦς· ἄφες αὐτήν, ἵνα εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τηρήσῃ αὐτό. 8. τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. 9. *ὄχλος δὲ πολὺς ἐκ τῶν Ἰουδαίων ἤκουσαν, ὅτι ἐκεῖ ἐστιν, καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν

40 Λάζαρον, ὃν παλίνορσον ἀναστήσας ἀπὸ νεκρῶν
ἔμπνοον ἐψύχωσε χέων φυσίζοον ἠχώ.
καὶ φθονεροὶ μενέαινον ἀναιδέες ἀρχιερῆες 10
καὶ ζαμενὴς Φαρισαῖος ὅλος χορός, ὄφρα καὶ αὐτὸν
Λάζαρον ἀχλυόεντι πάλιν πέμψωσι βερέθρῳ
45 νόστιμον ἐκ νεκύων ἑτέρῳ κτείνοντες ὀλέθρῳ,
πότμον ἔτι πνείοντα παλαίτερον, ὄφρα τις εἴπῃ·
Λάζαρος οἶτον ἄλυξε, καὶ οὐ φύγεν ἀρχιερῆας.
τοῦτον ἑλεῖν μενέαινον ἀναίτιον, ὅττι δι' αὐτὸν 11
λαὸς Ἰουδαίων μετανεύμενος ἔνδια κώμης
50 παιδὶ θεοῦ πίστευον, ἀλεξιμόρῳ βασιλῆι.
ἀκροφανὴς δ' ὅτε νύκτα λιπόσκιον ἔσχισεν ἠώς, 12
λαός, ὃς ἀγχιπόροιο μετήιε κῶμον ἑορτῆς,
φήμης εἰςαΐοντες, ὅτι ζαθέης ἀπὸ κώμης
Ἰησοῦς ἐς ἔδεθλον ἐλεύσεται Ἱροσολύμων,
55 ἤλυθον ἀντιόωντες· ἀπ' εὐδένδροιο δὲ κήπου 13
ἀκροκόμους φοίνικας ἐγυμνώσαντο κορύμβων.
καὶ χλοεροὺς ὄρπηκας ἐς ἠέρα λαὸς ἑλίσσων

Λάζαρον ἔδωσιν ὃν ἤγειρεν ἐκ νεκρῶν. 10. *καὶ ἐβουλεύσαντο οἱ ἀρχιερεῖς ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν, 11. ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν. 12. τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκούσαντες ὅτι ἔρχεται Ἰησοῦς εἰς Ἱεροσόλυμα, 13. ἔλαβον τὰ βαΐα τῶν φοινίκων καὶ ἐξῆλθον εἰς ὑπάντησιν αὐτῷ, καὶ ἐκραύγαζον (ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου,

---

41. ἄπνοον Ludwich Beitr. 128; sed cf. Rigler Mel. VI 17 φυσίζωον codd. corr. Bogardus. in margine γρ. ∴ P (?). 42. καὶ φθ evanuerunt V. 43. καὶ contectum est V Φαρισαίων V. 44. Λάζαρον prima litera contecta est. 45. om. V. 47. ἄλεξε V. 54. ἱεροσολύμων Pa.

58 εὐφήμοις στομάτεσσιν ἀνέκλαγε σύνθροον ἠχώ.
61 καὶ πολὺν ἔνθα καὶ ἔνθα κορυμβοφόροιο κελεύθου 14
δίζυγα πομπὸν ἔχων καὶ ὀπίστερον ἐσμὸν ὁδίτην
Ἰησοῦς πεφόρητο μέσος μιτρούμενος ἀνδρῶν,
ἰθύνων ἀχάλινον ὄνον ταλαεργὸν ὁδίτην,
65 ἑξόμενος νώτοισιν ἀπειρήτοιο φορῆος,
Ἡσαΐας τόπερ εἶπεν, ὅπως πληρούμενον εἴη·
μητέρος ὑψιλόφου θύγατερ, μὴ δείδιθι Σιών· 15
ἠνίδε ποικιλόδωρος ἄναξ τεὸς εἰς σὲ περήσει
πῶλον ἔχων ταχύγουνον ὀπηδεύοντα τεκούσῃ.
70 καὶ τὰ μὲν οὐ τὸ πρόσθεν ἐπεφράσσαντο μαθηταί· 16
ἀλλ' ὅτε παμμεδέουσαν ἑὴν ἀνεδύσατο μορφὴν
Χριστὸς ἄναξ, τότε πάντες ἀνεμνήσαντο μαθηταί,
ὅττι σοφῇ τάδε πάντα πέλει κεχαραγμένα βίβλῳ,

καὶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ). 14. εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον, ἐκάθισεν ἐπ' αὐτό, καθώς ἐστιν γεγραμμένον· 15. μὴ φοβοῦ, θυγάτηρ Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ πῶλον ὄνου. 16. ταῦτα *δὲ οὐκ ἔγνωσαν αὐτοῦ οἱ μαθηταὶ τὸ πρῶτον, ἀλλ' ὅτε ἐδοξάσθη ὁ Ἰησοῦς, τότε ἐμνήσθησαν *οἱ μαθηταὶ αὐτοῦ ὅτι ταῦτα ἦν * γεγραμμένα καὶ

---

58. περὶ τοῦ ὄνου in marg. d. V. lacunam Koechly de par. 8 indicavit. 59. 60. inserunt Bordatus:

εὐλογίῃσιν ἄναξ Ἰσραὴλ αἰνετὸς ἔστω
ἀθανάτου ὁ ἐν οὐνόματι κοσμήτορος ἥκων (!).

63. μέσον vulgo; corr. Koch l. c. 193. μέσῳ Marcellus. μιτρούμενος VMa μ̄ιτρούμενος P μετρούμενος Pa e coni. Marcellus et Koechly

καί οἱ ταῦτα τέλεσσαν· ἔην δ' ἄρα μάρτυς ἰωὴ 17
75 λαῶν συμμιγέων, ὅτι Λάζαρον ἔκτοθι τύμβου
Ἰησοῦς ἐκάλεσσε, τεταρταῖον δὲ θανόντα
ἐκ νεκύων ἤγειρε χέων ψυχοστόλον ἠχώ.
οὗ χάριν ἀντιόων πολὺς ἔρρεεν ἐσμὸς ὁδίτης 18
Χριστὸν ἀνευάζων νεκυοσσόον, υἱέα Δαβίδ.
80 ἀλλήλοις δ' ὀάριζον ὁμοφραδέες Φαρισαῖοι· 19
ἡμῖν ποῖον ὄνειαρ ἀέξεται; ἀμφιλαφὴς γὰρ
κόσμος ὅλος πολύμορφος ἑνὸς κατόπισθεν ὁδεύει,
καὶ δόλος ἡμείων θανατηφόρος οὐδὲν ὀνήσει.
καί τινες Ἑλλήνων ἔσαν ἀνέρες, οἵ τότε πολλοὶ 20
85 θεσπεσίης ἀνέβαινον ὀπιπευτῆρες ἑορτῆς.
Ἰησοῦν δ' ἀίοντες ἀειδομένης ἀπὸ κώμης 21
ἀγχιμόλῳ προσιόντες ἐπεφθέγξαντο Φιλίππῳ·
Χριστὸν ἰδεῖν ἐθέλοντες ἱκάνομεν. ἐσσύμενος δὲ 22
Ἀνδρέᾳ εἶπε Φίλιππος ὁμόπτολις· ἡδυεπὴς δὲ

ταῦτα ἐποίησαν αὐτῷ. 17. ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. 18. διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, [ὅτι ἤκουσαν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον]. 19. οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς· θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος *ὅλος ὀπίσω αὐτοῦ ἀπῆλθεν. 20. ἦσαν δὲ Ἕλληνές τινες ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ· 21. οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτὸν λέγοντες * θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. 22. ἔρχεται Φίλιππος καὶ λέγει τῷ Ἀνδρέᾳ, ἔρχεται Ἀνδρέας καὶ

---

74. οἱ] δὴ Marcellus. Ἰώβ P. 75. om. V ὅτι Ma ὅττι PPa; corr. Bordatus in marg. ὅτε Stephanus. 77. ψυχόστ cetera contecta sunt V. 78. ὁδίτ ceterae duae literae contectae sunt V. 83. ἀκούει V περὶ τῶν προελθόντων Ἑλλήνων in marg. V. 84. περὶ τῶν προσελθόντων Ἑλλήνων P. 86. φήμης vulgo; ipse correxi.

90 Ἀνδρείας ὁμόφοιτος ἐπειγομένοιο Φιλίππου
Χριστῷ μῦθον ἔλεξεν. ἄναξ δ' ἠμείβετο μύθῳ· 23
ὥρη νῦν μόγις ἦλθεν, ὅτε σχεδὸν ἵσταται ἀκμή,
94 ἀνθρώπου σοφὸς υἱὸς ὅπως ὑψούμενος εἴη.
95 κόκκος ἐπὴν σίτοιο πεσὼν ἐπὶ διψάδι γαίῃ 24
μή τι θάνῃ, τότε μοῦνος ἐτώσιος αὐτόθι μίμνει,
ἄσπορος, ἀχρήιστος, ἀνήροτος, ἄμμορος ἅρπης·
ἢν δὲ θάνῃ, ζείδωρον ἀφειδέα καρπὸν ἀέξει.
ψυχὴν δ' ὃς φιλέει, μινυώριος οὗτος ὀλέσσει 25
100 τερψινόου μεθέπων ἀπατήλιον ἐλπίδα κόσμου·
ψυχὴν δ' ὃς στυγέει, πανακήρατον ἔμπεδον αὐτὴν
εἰς βιοτὴν αἰῶνος ἀλωφήτοιο φυλάσσει.
ὅστις ἐμοὶ πείθοιτο διάκτορον ἔργον ὑφαίνων, 26
τοῦτον ἐμὸς γενέτης ὑψίθρονος οἶδε γεραίρειν·
105 ὅστις ὑποδρήσσειεν ἐμοῖς θεσμοῖσι πιθήσας,

Φίλιππος καὶ λέγουσιν τῷ Ἰησοῦ. 23. ὁ δὲ Ἰησοῦς *ἀπεκρίνατο αὐτοῖς λέγων· ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. 24. (ἀμήν, ἀμὴν λέγω ὑμῖν,) ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. 25. ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ *ἀπολέσει αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ (ἐν τῷ κόσμῳ τούτῳ) εἰς ζωὴν αἰώνιον *φυλάσσει αὐτήν. 26. ἐὰν ἐμοί τις διακονῇ, ἐμοὶ ἀκολουθείτω, καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται. ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει

---

92. μόλις Passow. 94. Bordatus inserunt:
Μάρτυς ἐτητυμίης Ἀμὴν, ἀμὴν λόγος ἔστω.

οὗτος ὑπαντήσειεν ἐμοὶ καὶ ὁμόστολος ἔσται,
ὄφρα μένοι μετ' ἐμεῖο διάκτορος, ὁππόθι μίμνω.
νῦν δ' ἐμὸν ἦθος ἔχω δεδονημένον· ἀλλὰ τί λέξω; 27
ψυχὴ ἐμὴ κλονέει με. πάτερ, φρενοδινέος ὥρης
110 ἐκ ταύτης με σάωσον ἀκαμπέος. ἀλλ' ἐπὶ τούτῳ
ῥιγεδανὴν ἀβίαστον ἑκούσιος ἤλυθον ὥρην·
υἷα τεὸν κύδαινε. καὶ οὐρανόθεν πέλε φωνή· 28
καί σε πάρος κύδηνα καὶ ἔμπαλιν ἄρτι γεραίρω.
καὶ πολὺς ἔνθα καὶ ἔνθα παριστάμενος καὶ ἀκούων 29
115 αἰθερίην τρομεροῖσιν ἐν οὔασι λαίλαπα φωνῆς
λαὸς ἐπεσμαράγησεν, ὅτι ζαθέων ἀπὸ κόλπων
βρονταίη βαρύδουπος ἐπέκτυπεν αἴθριος ἠχώ.
ἄλλοι δ' ἀντιάχησαν, ὅτι σχεδὸν ἄγγελος αὐτῷ
οὐρανίης ὀάριζε σοφῷ μυκήματι φωνῆς.
120 Ἰησοῦς δ' ἀγόρευεν ὅλῳ πολυθαμβέι λαῷ· 30

αὐτὸν ὁ πατήρ. 27. νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω; πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης; ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. 28. πάτερ, δόξασόν σου *τὸν υἱόν. *καὶ ἐγένετο φωνὴ ἐκ τοῦ οὐρανοῦ· καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. 29. ὁ οὖν ὄχλος ὁ ἑστὼς *καὶ ἀκούσας ἔλεγεν, *ὅτι βροντὴ γέγονεν· ἄλλοι *δὲ ἔλεγον *ὅτι ἄγγελος αὐτῷ λελάληκεν. 30. ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν· οὐ δι'

---

106. ὑπαντήσειεν V ὁμαρτήσειεν cet. et edd. 107. ὄφρα om. V μένου V μίμνων Pa. 108. νῦν primae duo lit. contectae sunt V. ἦτορ vulgo; corr. Tiedke I 46. ἔχω om. Pa. 109. ψυχή primae duae lit. contectae sunt V. 110. με] δὲ V. 111. ἀβιάστον V ἀβίαστος cet. et edd. ὥρη Pa. 112. κύδηνε codd. corr. Iuvenis. 113. πάρος] πάρ V. 114. πολὺς] πάρος V. 115. αἰθερίης Marcellus. 117. βροντέη Pa βαρύγδουπος V. 119. μιμήματι Marcellus.

οὐ δι' ἐμὲ κτύπος οὗτος ἀράσσεται, οὐρανόθεν δὲ
ἀντίτυπος βροντῇσι δι' ὑμέας ἵκετο φωνή.
νῦν ζαθέου κόσμοιο πέλει κρίσις· ἄρτι καὶ αὐτὸς 31
124 ἀρχὸς ἀλιτρονόοιο διώκεται ἔκτοθι κόσμου.
— — — — — — — — — — 32
129 λαοὶ δ' ἀντιάχησαν ὁμογλώσσῳ τινὶ μύθῳ· 34
130 ἐκλύομεν γραφικοῖσι χαράγμασι πολλάκις ἡμεῖς,
Χριστὸς ὅλων μεδέων αἰώνιος οὕνεκα μίμνει.
καὶ πόθεν ἄμμιν ἔειπες ἀσημάντῳ σέο μύθῳ·
ἐκ χθονίων λαγόνων ὑψούμενος εἰς πόλον ἐλθών,
ὑμέας εἰς ἐμὲ πάντας ἀπὸ χθονὸς αὐτὸς ἐρύσσω,
135 ἀνθρώπου κλυτὸς υἱὸς ἐπὴν ὑψούμενος εἴῃ;
εἰπὲ δέ, τίς πέλεν οὗτος, ὃν ἀγνώστῳ τινὶ θεσμῷ
ἀνθρώπου σοφὸν υἷα τεῇ μυθήσαο φωνῇ;
Ἰησοῦς δ' ἅμα πᾶσιν ἀνίαχε· βαιὸν ἐν ὑμῖν 35

ἐμὲ ἡ φωνὴ αὕτη *ἦλθεν, ἀλλὰ δι' ὑμᾶς. 31. νῦν κρίσις ἐστὶν τοῦ κόσμου· νῦν ὁ ἄρχων τοῦ κόσμου * ἐκβληθήσεται ἔξω, 32. κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. 33. τοῦτο δὲ ἔλεγεν σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. 34. ἀπεκρίθη οὖν * ὁ ὄχλος· ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα, καὶ πῶς λέγεις σὺ ὅτι δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; 35. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἔτι μικρὸν χρόνον τὸ φῶς ἐν ὑμῖν ἐστιν.

---

122. βροτοῖσι V. 123. ζαθέη Marcellus. 124. lacunam indicavit Koechly de par. 8. 125—128. inseruit Bordatus:

Καί κεν ἐπὴν ὑψωθῶ ἀπὸ χθονὸς εὐρυοδείης
ὑμέας εἰς ἐμὲ πάντας ἐς οὐρανὸν εὐρὺν ἐρύσσω.
Ἤτοι σημαίνων ποίῳ θανάτῳ πάσιν

ἔσσεται εἰςέτι μοῦνον ἐπὶ χρόνον αἰθέριον φῶς.
140 ἀπλανέες δ' ἐνὶ φωτὶ δι' ἰθυπόροιο κελεύθου
στείχετε θαρσήεντες, ἕως ἑκάς ἐστιν ὀμίχλη,
πρὶν ζοφερῇ στροφάλιγγι κιχήμεναι ὑμέας ὄρφνην.
ὃς δὲ διαστείχει σφαλερῷ ποδὶ νυκτὸς ὁδίτης,
πλάζεται ἀγνώσσων σκολιὴν ὁδόν, ὁππόθι βαίνει.
145 ἄχρι φάος δέρκεσθε, σοφῷ πιστεύετε μύθῳ 36
146 εἰς φάος, ὄφρα γένοισθε φεραυγέες υἱέες αἴγλης·
149 τόσσα δέ οἱ τελέσαντι πολύτροπα φάρμακα νούσων 37
150 αὐτῶν δερκομένων ἀντώπιον, ἐκτὸς ἀκουῆς,
οὔτις ἀνὴρ πίστευεν· ὅπως πληρούμενον εἴη, 38
Ἡσαΐας τόπερ εἶπε χέων πρωτόθροον ὀμφήν·
κοίρανε, τίς μετὰ τόσσα τεῇ πίστευεν ἀκουῇ,
ἢ τίνι παγγενέταο θεοῦ γυμνοῦτο βραχίων;

περιπατεῖτε ὡς τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδεν ποῦ ὑπάγει. 36. ὡς τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. (ταῦτα ἐλάλησεν Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη· ἀπ' αὐτῶν.) 37. τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν, οὐκ ἐπίστευον εἰς αὐτόν. 38. ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου πληρωθῇ, ὃν εἶπεν· κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν;

---

140. πόροιο κελευθου contecta sunt V. 141. ἕως ἑκάς ἐστιν ὀμίχλη V ἕως φάος εἰσέτι λάμπει Ma ἕως εἰσέτι φάος λάμπει P ἕως εἰσέτι φάος λάμπει Pa. 142. ὄρφν cetera desunt V. 144. πλάσσεται V. 145. πιστεύεε V 146. φεραυγέος Marcellus υἱέος PPa corr. Iuvenis. 147. 148. Bordatus inseruit:

ζωοδότης γόνος ἀνθρώπου τάδε πάντα βοήσας
κεύθετ' Ἰουδαίων χορὸν ἀγκυλόμητιν ἐάσας.

151. εἴτις V. 153. πίστευεν V πίστευσεν cet. πίστευεν primae edd.; πίστευσεν Stephanus. cf. Hermann cens. 998. nota 7 in *marg. P.* 154. 7 in marg. P.

155 οὗ χάριν οὐκ ἐδύναντο θεουδέα πίστιν ἀέξειν, 39
ὅττι καὶ Ἡσαΐας πάλιν ἔννεπε θέσπιδι φωνῇ·
ὀφθαλμοὺς ἀλάωσεν ἐμῶν ἐπιμάρτυρας ἔργων 40
καὶ νόον ἰθυκέλευθον ἐθήκατο τυφλὸν ἀλήτην,
μὴ κραδίῃ νοέωσι καὶ ἀθρήσωσιν ὀπωπῇ
60 καί μοι ὑποστρέψωσι, νοοβλαβέας δὲ σαώσω
ἄνδρας ἀλιτραίνοντας ἐμῷ παιήονι μύθῳ
ἰητὴρ ἀσίδηρος ἐχέφρονα φάρμακα πάσσων.
Ἡσαΐας τάδε πάντα κατέγραφε θέσπιδι βίβλῳ 41
ὅττι θεοῦ Χριστοῖο προώριον ἔδρακε τιμὴν
65 ὀφθαλμῷ κραδίης πανδερκέι, καὶ χάριν αὐτοῦ
ἐσσομένην προκέλευθον ἐθέσπισεν ἔνθεον ὀμφήν.
ἔμπης ἀπλανέες τινὲς ἀνέρες ἴδμονι σιγῇ 42
ἀρχοὶ Ἰουδαίων, ὑψαύχενος ὄμματα βουλῆς,
παιδὶ θεοῦ πείθοντο θεηγενέων χάριν ἔργων·
70 ἀλλὰ φόβον καὶ ζῆλον ἀλυσκάζων Φαρισαίων
ἀμφαδὸν οὔτις ἔφηνεν ἑὸν νόον· αἰδομένου δὲ

καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; 39. διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν Ἡσαΐας· 40. τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ ἐπώρωσεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ νοήσωσιν τῇ καρδίᾳ καὶ στραφῶσιν καὶ ἰάσομαι αὐτούς. 41. ταῦτα εἶπεν Ἡσαΐας, ὅτι εἶδεν τὴν δόξαν *τοῦ θεοῦ καὶ ἐλάλησεν περὶ αὐτοῦ. 42. ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν, ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν, *

157—162. in marg. 7 V. 158. in marg. // P. 159. ὀπωπῇ V ὀπωπαῖς cet. et edd. 160. [illegible]

ἐνδόμυχος τότε πίστις ὑπὸ φρένα φωτὸς ἑκάστου
ἀπροϊδής, ἀβόητος ἐκεύθετο φωλάδι σιγῇ·
πᾶς γὰρ ἀνὴρ προβέβουλε χαμαιγενέων χάριν ἀν-
δρῶν 43
175 ἢ μεγάλου μούνοιο θεοῦ πολυφεγγέα τιμήν.
Ἰησοῦς δ' ἰάχησε θυώδεος ἔνδοθι νηοῦ· 44
ὅστις ἐμῶν δέξοιτο θεοφραδέων στίχα μύθων,
εἰς ἐμὲ πιστεύων οὐ πείθεται, ἀλλὰ τοκῆι,
ὅςτις ἐμὲ προέηκε. καὶ ἀνδρομέῃσιν ὀπωπαῖς 45
180 πᾶς ἐμὲ παπταίνων καὶ ἐμὸν γενετῆρα δοκεύει.
οὐρανόθεν φάος ἦλθον ἐγὼ λιποφεγγέι κόσμῳ· 46
οὐρανόθεν φάος ἦλθον, ἵνα βροτός, ὅς με γεραίρει,
πίστιν ἔχων ἀτίνακτον ἐν ἀχλύι μή ποτε μίμνῃ.
ὅστις ἐμῶν δέξοιτο θεόσσυτα χεύματα μύθων 47
185 καὶ μὴ ἀσυλήτοιο νόου σφρηγῖδα φυλάξῃ,
οὐ κρίνω ποτὲ τοῦτον ἐγὼ βροτόν· οὐ γὰρ ἱκάνω,

---

43. ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ θεοῦ. 44. Ἰησοῦς δὲ ἔκραξεν καὶ εἶπεν· ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ ἀλλὰ εἰς τὸν πέμψαντά με, 45. καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με. 46. ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα * ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. 47. καὶ ἐάν τίς μου ἀκούσῃ τῶν ῥημάτων καὶ μὴ φυλάξῃ, ἐγὼ οὐ κρίνω αὐτόν· οὐ γὰρ ἦλθον ἵνα κρίνω

---

172. δόμυχος initium contectum est V. 173. φυλάδι V φωλάδι in marg. φυλάδι P φωλάδι Pa. 174. μαχαιγενέων V ἄνδρων om. V ἔργων cet.; corr. Bordatus. 176. θυώδεος Pa. 177. δέξαιτο Passow. 180. πῶς Pa. 182 om. VMa in marg. adscriptus est P γεραίρῃ PPa (γεραίρῃ); correxit Iuvenis. 183. μίμνει V. 185. μήτ' — σφρηγῖδι Marcellus. 186. ποτὲ om. VMa.

κόσμον ἵνα κρίνοιμι πολύπλανον, ἀλλὰ σαώσω.
ὅς με παραγράψαιτο καὶ ἡμετέρης θρασὺς ἀνὴρ 48
ἔμπνοα μὴ δέξοιτο βιοσσόα χεύματα φωνῆς,
190 οὗτος ἔχει κρίνοντα δικασπόλον. ἡμέτερος γάρ,
ὃν λαλέω, λόγος οὗτος ἀπειθέα τοῦτον ἐλέγξει
κρίνων, ὀψιτέλεστος ὅτε δρόμος ἔσχατος ἠοῦς,
ἐγρομένοις ὅτε πᾶσι πέλει κρίσις. ἐξ ἰδίων γὰρ 49
οὐ μάθον αὐτοκέλευστος ἐγώ ποτε μῦθον ἐνίψαι,
195 ἀλλὰ θεοῦ ζείδωρον ἔχω παρὰ πατρὸς ἐφετμήν,
ἀνδράσιν ἀγρομένοις τί φθέγξομαι ἢ τί βοήσω.
οἶδα δὲ παμμεδέοντος ἐφημοσύνην γενετῆρος 50
ζωὴν ἀθανάτην, τὴν ἔλλαχε σύνδρομος αἰὼν
ἀενάῳ στροφάλιγγι· καὶ ὑμέας ὅσσα διδάσκω,
200 ὥσπερ ἐμοὶ κατέλεξε πατὴρ ἐμός, ὣς ἀγορεύω.

τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. 48. ὁ ἀθετῶν ἐμὲ καὶ μὴ λαμβάνων τὰ ῥήματά μου ἔχει τὸν κρίνοντα αὐτόν· ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. 49. ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με πατὴρ αὐτός μοι ἐντολὴν δέδωκεν τί εἴπω *ἢ τί λαλήσω. 50. καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. ἃ οὖν * λαλῶ, καθὼς εἴρηκέν μοι ὁ πατήρ, οὕτως λαλῶ.

---

187. σαῶσαι vulgo; corr. Hermann cens. 998. 188. παρεγράψαιτο V. 189. ῥήματα Marcellus; refutavit Ludwich Beitr. 129. 196. de hoc versu vide, quod ipse disserui Z. f. d. ö. G. 1879, 421. 198. ζωὴν primae duae literae contectae sunt. ἀθανάτην] ἐσσομένην Marcellus ἔλαχε Ma σύνδρομον Marcellus. 199. ἀενάῳ V.

ΚΕΦ. Ν.

Καὶ ναέταις πρὶν πάσχα μολεῖν, πρὶν βωμὸν
ἀνάψαι, 1
Ἰησοῦς νοέων, ὅτι καίριος ἤλυθεν ὥρη,
ὄφρα κεν ἐκ κόσμοιο μετάτροπος αἰθέρα δύνων
νόστιμος ὑψιμέδοντι συναστράψειε τοκῆι,
πάντας ἀεὶ παρεόντας ἑοὺς ἑτάρους ἀγαπήσας
ἐξ ἀρχῆς ἀγάπαζε καὶ εἰς τέλος. ἑσπερίου δὲ 2
δείπνου γινομένοιο φιλοστόργοιο τραπέζης
δούλιον ἔργον ἔτευξεν ἑοῖς ἑτάροισιν ὑφαίνων,
δαίμονος ἀντιπάλοιο φιλοκτεάνῳ τινὶ κέντρῳ
ἀργυρέην ἐπὶ λύσσαν ἀνοιστρήσαντος Ἰούδαν,
τολμήεις ἵνα κεῖνος Ἰουδαίοισι προδοίη
Χριστὸν ἑὸν θρεπτῆρα δεδεγμένος ὦνον ὀλέθρου
αὐτὸς ἐνὶ κραδίῃ δεδαημένος, ὅττι περ αὐτοῦ 3
ὑψιμέδων ἅμα πάντα θεὸς πόρε χειρὶ νομεύειν,

1. Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ Ἰησοῦς ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐτούς. 2. καὶ δείπνου γινομένου, τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν *Ἰούδα * ἵνα παραδοῖ αὐτόν, 3. εἰδὼς ὅτι πάντα *ἔδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας καὶ

1. βωμὸν ἀνάψαι om. V. 2. νοέω Pa ἤλυθεν primae duae literae contectae sunt. περὶ τοῦ νιπτῆρος in margine d. P. 6. περὶ τοῦ νιπτῆρος in marg. sin. V. 7. γενομένοιο V. 8. περὶ τοῦ νιπτῆρος in marg. d. Pa; eadem verba ad hunc locum man. rec. P. 10. ἀργυρέην V ἀνδρομέην cet. et edd. ἀνδροφόνην Marcellus. 11. Ἰουδαίοις παραδοίη Lehrs l. c. 263; sed cf. quod ipse Q. N. I 25 disputavi. 13. ἐνὶ ἑῇ VMa ἐνὶ PPa ἑῇ edd. δεαημένος Pa. 14. ἅμα om. Pa.

15 ὅττι καὶ οὐρανόθεν καὶ ἐς αἰθέρα δίζυγι θεσμῷ
καὶ θεόθεν πάρος ἦλθε καὶ εἰς θεὸν αὖτις ἱκάνει.
καὶ τότε δαιτυμόνεσσι διάκτορον ἔργον ὑφαίνων 4
Ἰησοῦς ταχυεργὸς ἀνίστατο δεῖπνον ἐάσας
καὶ χροὸς αἰγλήεντος ἑοὺς ἀπέθηκε χιτῶνας
20 καὶ λινέην λαγόνεσσι νόθην ἐζώσατο μίτρην
σφίγξας σκληρὸν ὕφασμα, τόπερ φάτο Θυμβριὰς αὐδὴ
λίντεον, ἱκμαλέοιο ποδὸς μακτήριον ἀνδρῶν.
καὶ γλαφυρῷ νιπτῆρι βαλὼν ὑποκόλπιον ὕδωρ 5
Χριστὸς ἑῶν ἑτάρων φιλίους πόδας ἤρξατο νίπτειν
25 λοίσθιον ἐκ πρώτου μετανεύμενος ἄλλον ἐπ' ἄλλῳ·
ἀρχόμενος Σίμωνος ἕως ἰδίοιο φονῆος.
πρεσβυτέρῳ Σίμωνι παρίστατο καὶ πόδας αὐτοῦ 6

ὅτι ἀπὸ θεοῦ ἐξῆλθεν καὶ πρὸς τὸν θεὸν ὑπάγει, 4. ἐγείρεται ἐκ τοῦ δείπνου καὶ τίθησιν τὰ ἱμάτια, καὶ λαβὼν λέντιον διέζωσεν ἑαυτόν, 5. εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν (καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος). 6. ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον. *καὶ λέγει αὐτῷ· κύριε, σύ μου νίπτεις τοὺς πόδας;

---

16. αὖτις V αὖθις cet. et edd. 17. δαιτυμόνεσσι prius σ postea insertum est Ma. 18. ἀνίσταται V ἐάσσας V. 20. λαγόνεσσιν MaP. corr. Bogardus. 21. θυμβεὰς codd. et primae edd. τυμβεὰς Iuvenis. θυμβριὰς Hartung decur. 2, 7, 19. H. Steph. sched. 3, 31. cf. Hermann cens. 998, Koechly de paraphr. 10, et quod ipse attuli Z. f. d. ö. G. 1878 p. 818. 22. λέντιον Ma λίντιον cet. et edd. λίντεον Bordatus et Hermann cens. 992. ἀλκτήριον VMa (κ e corr.; antea η) PPa ἀλητήριον edd. ante Iuvenem, qui ἀλιτήριον scripsit. θελκτήριον Hermann cens. 998

ἀμφοτέρους κρατέεσκε· ταχὺς δ' ἀντέσπασε Σίμων,
Ἰησοῦν δ' ἀνέκοψε φίλον σέβας ὄμμασι φαίνων·
καί μιν ἐρητύων βριαρῇ μειλίξατο φωνῇ·
ὑμετέρου θεράποντος, ἄναξ πάντεσσι κελεύων,
νίπτεις σαῖς παλάμαις καὶ ἐμοὺς πόδας; ἡδυε-
πὴς δὲ 7
ἑξομένῳ Σίμωνι θεηγόρος εἶπεν Ἰησοῦς·
ἄρτι μὲν ὡς τελέω δρηστήριον ἔργον ὑφαίνων,
οὐ δύνασαι νοέειν, μετέπειτα δὲ τοῦτο νοήσεις.
καί οἱ Πέτρος ἔλεξε χέων ἡδεῖαν ἀπειλήν· 8
οὔποτε φαιδρύνειας ἐμοὺς πόδας, εἰς ὅσον ἕρπει
αἰὼν πουλυέλικτος· ἄναξ δ' ἠμείβετο μύθῳ·
οὔποτέ σοι μετ' ἐμεῖο μέρος πεφυλαγμένον ἔσται,
εἰ μὴ ἐγὼ νίψω σε χέων μεταχείριον ὕδωρ.
καί οἱ μῦθον ἔλεξε νόῳ πειθήμονι Σίμων· 9
ναὶ λίτομαι, μὴ μοῦνον ἐμοὺς πόδας, ἀμφοτέ-
ρας δὲ
νίψον, ἄναξ, καὶ χεῖρας ἐμὰς καὶ κυκλάδα κόρσην,

---

7. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα. 8. λέγει αὐτῷ Πέτρος· οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα. ἀπεκρίθη Ἰησοῦς * ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. 9. λέγει αὐτῷ * Πέτρος· κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ

---

29. σίμων ἀνέκοψε Pa σέβασμα Pa. 30. μυθήσατο Marcellus, quod refutavit Ludwich Beitr. 116. 31. ἡμετέρου Pa. 32. νί ις V νίπτει P καὶ om. codd. et edd. principes; Bogardus παλάμαισιν, Passow παλάμῃσιν; ipse correxi. 33. ἑξομένῳ prima litera contecta est V. 34. ἄτι V στη in m., quod in textu δρηστήριον legi vix potest P. 38. πολυέλικτος VP. 39. σοὶ] σὺ PPa. 40. cf. Hermann opusc. IV 317. 43. ἐμὰς] αὐτὰς V.

ναὶ πάλιν, ἢν ἐθέλῃς, καὶ ὅλον δέμας. εἶπεν
Ἰησοῦς· 10
45 οὐ χατέει νεαροῖο λελουμένος ὕδατος ἀνήρ,
εἰ μὴ μοῦνα πόδεσσι καθάρσια νίπτρα πορείης
εἰνοδίης· καθαρὸν γὰρ ὅλον δέμας· ἀνδρομέης δὲ
ἄμμοροι ἀμπλακίης καθαροὶ νόον ἐστὲ καὶ αὐτοί·
ἀλλ' οὔπως ἅμα πάντες· ἐπεὶ πάρος ἤδεε θυμῷ, 11
50 τίς μιν ἀνὴρ ἤμελλεν Ἰουδαίοις παραδώσειν
ὤνιον ἀντιβίοισι, τίς ἔμπορος ἦεν ὀλέθρου.
οὗ χάριν ἀγχιθέοισιν ἄναξ ἀγόρευε μαθηταῖς·
ἄμμορον ἀμπλακίης καθαρὸν νόον ἴστε καὶ αὐτοί,
ἀλλ' οὔπως ἅμα πάντες. ὑποδρηστῆρι δὲ θεσμῷ 12
55 ὁππότε δαιτυμόνων δυοκαίδεκα κύκλον ἀμείβων
νίψεν ἑῶν ἑτάρων ὁσίους πόδας ἁγνὸς Ἰησοῦς,
κεκλιμένους παλίνορσος ἑοὺς ἔνδυνε χιτῶνας·
καὶ παλάμης ἀγκῶνα παλινδίνητον ἐρείσας
ἀκρότατον περὶ κύκλον ὁμοστόργοιο τραπέζης

τὰς χεῖρας καὶ τὴν κεφαλήν *καὶ ὅλον δέμας. 10. λέγει αὐτῷ Ἰησοῦς· ὁ λελουμένος οὐκ ἔχει χρείαν *εἰ μὴ τοὺς πόδας νίψασθαι, *ἔστιν γὰρ καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες. 11. ἤδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ τοῦτο εἶπεν * οὐχὶ πάντες καθαροί ἐστε. 12. ὅτε οὖν ἔνιψεν τοὺς πόδας αὐτῶν, ἔλαβεν τὰ ἱμάτια αὐτοῦ, καὶ *ἀναπεσὼν πάλιν εἶπεν αὐτοῖς· γινώσκετε, τί πεποίηκα

---

44. θέλῃς PPa. 46. μοῦνον P corr. Bogardus. κονίης

60 εἶπεν ἑοῖς ἑτάροις· γινώσκετε τοῦτο καὶ αὐτοί,
ὑμῖν οἷον ἔρεξα διάκτορον ἔργον ὑφαίνων;
ὑμεῖς διχθαδίῳ με σοφῷ κικλήσκετε μύθῳ 13
κοίρανον ὑμείων τε διδάσκαλον· ἀπλανέες δὲ
τοῦτο καλῶς φθέγγεσθε δαήμονες· εἰμὶ γὰρ ἄμφω,
65 ὡς ἐμὲ μυθίζεσθε. φιλοστόργῳ δὲ μενοινῇ 14
εἰ πόδας ὑμείων καθαρῷ φαίδρυνα λοετρῷ
ἡγητὴρ καὶ ἄναξ περιδέξιος, ἀλλὰ καὶ αὐτοὺς
ἀντίτυπον θέμις ἐστὶν ἐμὸν μίμημα μαθόντας
ὑμέας ἀλλήλων φιλίους πόδας ὕδατι νίπτειν.
70 δεῖγμα γὰρ ἔπλετο τοῦτο διδάσκαλον, ὄφρα καὶ
ὑμεῖς 15
ἔργον, ὅπερ ποίησα σοφόν, τελέσητε καὶ αὐτοὶ
πάντες ἐν ἀλλήλοισιν ἀμοιβαίῳ τινὶ θεσμῷ
ἰσοφυὲς μίμημα δαήμονος ἡγεμονῆος.
οὐ πέλε λάτρις ἄνακτος ὑπέρτερος· οὐδέ τις ἀνὴρ 16
75 ἡγεμόνος πέμψαντος ἀπόστολός ἐστιν ἀρείων.
εἰ δὲ λόγῳ τάδε πάντα νοήσατε καὶ νόος ἔργῳ 17
ἤρισε, καί κεν ἔφυτε μακάρτεροι. οὐ περὶ πάντων 18

ὑμῖν; 13. ὑμεῖς φωνεῖτέ με *ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ. 14. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας· 15. ὑπόδειγμα γὰρ *ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν καὶ ὑμεῖς ποιῆτε. 16. (ἀμήν, ἀμὴν λέγω ὑμῖν,) οὐκ ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. 17. εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά. 18. οὐ περὶ πάντων

---

67. cf. Tiedke Herm. XIII 66. Inania molitur Marcellus. 73. ἰσοφυὴς Pa. 76. νομίσσατε Marcellus. comma delevit post νοήσατε Hermann cens. 992. 77. περ vulgo; corr. Hermann cens. 992.

ἔννεπον ὑμείων ἑτέρου καθαροῖο λοετροῦ
δευομένων· ὁ δὲ μῦθος ἑνὸς χάριν. οἶδα καὶ αὐτός,
80 οἵους πιστοτάτους καὶ ἀμεμφέας ἄνδρας ἐδέγμην·
ἀλλ' ἵνα, φορμίζουσα τόπερ φάτο θέσπις ἀοιδή·
— — — — — — — — — —
χρυσομανὴς ἄστοργος ἀνὴρ ἐμὸν ἄρτον ἐρέπτων
πτέρνην κερδαλέην ἐμέθεν καθύπερθεν ἀείρας
ἡμετέρῃ σύνδορπος ἐπεσκίρτησε τραπέζῃ.
85 γλώσσῃ προφθαμένῃ, τόπερ ἔσσεται, ἄρτι βοήσω, 19
ὄφρα, μιν ἢν τελέσειεν ἕλιξ χρόνος ἐγγύθεν ἕρπων,
μῦθον ἀναμνήσησθε παλαίφατον, ὅττι περ ὑμῖν
ἐσσόμενον θέσπιζεν ἐμὴ πρωτόθροος ὀμφή.
μάρτυρος ἐμπεδόμυθος ἀμήν, ἀμὴν λόγος ἔστω· 20
90 ὅστις ἐμὸν δέξοιτο διάκτορον, ὅντινα πέμψω
ἵλαον ὄμμα φέρων, ἐμὲ δέχνυται· ὃς δὲ καὶ αὐτὸν
πεμπόμενον θεόθεν με λαβὼν προσπτύσσεται ἀνήρ,
δέχνυται αὐτογένεθλον ἐμὸν πέμψαντα τοκῆα.
εἶπεν ἄναξ ἑτάροισι· καὶ ὀμφῆεν στόμα λύσας 21

ὑμῶν λέγω· ἐγὼ οἶδα οὓς ἐξελεξάμην· ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ· ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον *ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ. 19. ἀπ' ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα πιστεύσητε, ὅταν γένηται ὅτι ἐγώ *εἶπον ὑμῖν. 20. ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὁ λαμβάνων, *ὅντινα πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων λαμβάνει τὸν πέμψαντά με *πατέρα. 21. ταῦτα εἰπὼν Ἰησοῦς ἐταράχθη τῷ πνεύματι καὶ ἐμαρτύρησεν

---

79. ἑνὸς bis V. 80. ἀπιστοτάτους P corr. Stephanus. 81. lacunam indicavit Koechly de par. 8 'talem fere versum excidisse

95 πνεύματος οὐρανίου δεδονημένος ἔμφρονι παλμῷ
Χριστὸς ἀσιγήτοιο νόου κυμαίνετο πυρσῷ·
μαρτυρίην δ' ἰδίην προφέρων ἠρεύγετο φωνήν·
εἷς βροτὸς ὑμείων με φίλων ἑτάρων παραδώσει·
εἷς φίλος ἀλλοπρόσαλλος ὁμωρόφιός με δαμάσσει.
100 Ἰησοῦς μὲν ἔειπεν· ὁμοζυγέες δὲ μαθηταὶ 22
ἀλλήλους σκοπίαζον ἀμειδέι πάντες ὀπωπῇ,
ξυνῇ ἀμηχανέοντες — ἐμαστίζοντο δὲ σιγῇ —
ἀμφὶ τίνος κατέλεξεν. ἀνὴρ δέ τις ὃς παρὰ κόλπον 23
ἀγχιφανὴς ἀνέκειτο φιλοστόργου βασιλῆος,
105 τούτῳ Πέτρος ἔνευσε· λάλῳ δ' ἐρέεινε σιωπῇ, 24
τίς πέλεν, οὗ χάριν εἶπεν· ὁ δὲ θρασὺς ὀξέι παλμῷ 25
στήθεσιν ἀχράντοισι πεσὼν πεφιλημένος ἀνὴρ
δαινυμένου βασιλῆος ἐπεψιθύριζεν ἀκουῇ,
τίς τελέθει. καὶ Χριστὸς ἐφώνεεν· ᾧ χερὶ βάψας 26

καὶ εἶπεν (ἀμήν, ἀμὴν λέγω ὑμῖν) ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. 22. ἔβλεπον *οὖν εἰς ἀλλήλους οἱ μαθηταί, ἀπορούμενοι περὶ τίνος λέγει. 23. ἦν *δὲ ἀνακείμενος εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, (ὃν ἠγάπα ὁ Ἰησοῦς)· 24. νεύει οὖν τούτῳ (Σίμων) Πέτρος καὶ λέγει αὐτῷ· εἰπὲ τίς ἐστιν, περὶ οὗ λέγει. 25. ἐπιπεσὼν δὲ ἐκεῖνος * ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ, λέγει αὐτῷ· κύριε, τίς ἐστιν; 26. ἀποκρίνεται *οὖν ὁ Ἰησοῦς· ἐκεῖνός ἐστιν, ᾧ ἐγὼ *βάψας τὸ ψωμίον δώσω. *καὶ βάψας τὸ ψωμίον δίδωσιν Ἰούδᾳ *

---

95. δεδογημένος Ma. 97. ἰδίαν V. 98. cf. Tiedke I 25. 99. ὁμορρόφιος V. 101. σκοπίαζεν Pa. 102. interpunctionem ipse correxi. ἐμαστεύοντο Marcellus. 103. ὃς] ὡς Marcellus. 108. ὠκέι Marcellus. cf. Wernicke ad Tryph. 205.

110 οἰνωπῇ ῥαθάμιγγι δεδευμένον ἄρτον ὀπάσσω,
οὗτος ἐμὲ προδίδωσι· καὶ εἰς δέπας ἔμπλεον οἴνου
βάψας ὕστατον ἄρτον ἀναιδέι δῶκεν Ἰούδᾳ,
ἄρτον ἑοῦ κήρυκα φιλοκτεάνοιο φονῆος.
καὶ μετὰ θέσκελον ἄρτον ὑποσπείρων πόθον
ὄλβου 27
115 πομπὸς ἀλιτροσύνης ὅλον ἀνέρα δύσατο δαίμων.
καί οἱ Χριστὸς ἔλεξε δαήμονι νεύματα πέμπων·
ἔρξον, ὅπερ τελέεις, ταχινώτερον. οὐδέ τις ἔγνω 28
δαιτυμόνων ἀίδηλον ἐν οὔασι μῦθον ἀκούων,
ὅττι τινὲς δοκέεσκον ἀσημάντῳ τινὶ μύθῳ, 29
120 δουρατέην ὅτι χηλὸν ἀνηέρταζεν Ἰούδας,
μή οἱ κοίρανος εἶπεν ἑῷ σημάντορι μύθῳ,
ὄφρα κεν ἐντύνειεν, ὅσον χρέος εἶχεν ἑορτή,
ἢ ἵνα τι πτωχοῖσι βιοπλανέεσσιν ὀπάσσῃ.
καὶ μεθύων μετὰ δόρπον ἀνὴρ φιλοκερδέι λύσσῃ 30
125 ἔνθεον ἄρτον ἔχων ἀνεχάζετο νυκτὸς ὁδίτης.
ἀλλ' ὅτε νόσφι βέβηκε δυωδεκάριθμος Ἰούδας, 31

27. καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ σατανᾶς. λέγει οὖν αὐτῷ Ἰησοῦς· ὃ ποιεῖς ποίησον τάχιον. 28. τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων, πρὸς τί εἶπεν αὐτῷ· 29. τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν Ἰούδας, ὅτι λέγει αὐτῷ Ἰησοῦς· ἀγόρασον, ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν, ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ. 30. λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος ἐξῆλθεν εὐθύς· ἦν δὲ νύξ. 31. ὅτε οὖν ἐξῆλθεν, λέγει Ἰη-

110. οἰνωπῇ Ma οἰνώπῃ V οἰνωπὶ PPa οἴνοπι Bogardus.

ἕνδεκα δαιτυμόνεσσι θεηγόρος εἶπεν Ἰησοῦς·
νῦν πάις ἀνθρώπου φαεσίμβροτον ἔλλαχε τιμήν,
καὶ θεὸς αὐτογένεθλος ἐδέξατο κῦδος ἐν αὐτῷ.
30 εἰ δὲ θεὸς γενέτης ὑψούμενός ἐστι δι' αὐτοῦ, 32
καὶ θεὸς ὑψώσειε πατὴρ υἱῆα γεραίρων.
τέκνα, μεθ' ὑμείων ὀλίγον χρόνον εἰςέτι μίμνω, 33
καὶ λόγον Ἑβραίοισιν ὃν ἔννεπον, ἄρτι καὶ ὑμῖν
134 φθέγγομαι ἡμετέρῃ παλινάγρετον ἠθάδι φωνῇ·
136 ὑμέας οὐ θέμις ἐστὶ συνήλυδας, ὁππόθι βαίνω,
ἡμετέρης ἀκίχητον ἔχειν δρόμον ἀτραπιτοῖο.
ὁπλοτέρην τινὰ πᾶσιν ἐφημοσύνην ἐπιτέλλω· 34
ὑμέας ὡς ἀγάπαζον, ἴσῳ καὶ ἀμεμφέι θεσμῷ
140 ἀλλήλων φιλίην ὁσίῳ σφρηγίσσατε δεσμῷ
ἀρθμὸν ὁμοφροσύνης ἀλύτῳ δήσαντες ὀχῆι,
ὑμέας εἰν ἑνὶ πάντες ἵνα γνώωσιν ἰδόντες 35
ἀλλήλους φιλέοντας, ὅτι ζαθέῳ τινὶ θυμῷ

σοῦς· νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ. 32. εἰ *δὲ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν αὐτῷ, (καὶ εὐθὺς δοξάσει αὐτόν). 33. τεκνία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμί. (ζητήσετέ με,) καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις ὅτι ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, καὶ ὑμῖν λέγω ἄρτι. 34. ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς, * 35. ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην

128. ἔλαχε Pa. 135. Bordatus inseruit:
πολλά με μαστεύσητε παλίνδρομον ὀψὲ νοῆσαι.
137. ἡμέτερ V. 138. ἐν ἅπασιν vulgo; corr. Tiedke I 42. 139. ἀμεμφέι e corr. antea ὁμόφρονι Ma θυμῷ Marcellus. 140. om. VMa in marg. rec. man. P. σφρηγίσατε PPa corr. Passow. θεσμῷ vulgo; corr. Marcellus. cf. Tiedke I 34
141. δήσαστε V. 142. γνώωσι Pa. 143. θεσμῷ V θεσμῷ θυ Marcellus.

παμφαέος Χριστοῖο θεουδέες ἐστὲ μαθηταί.
145 Χριστοῦ δ' ὡς κλύε μῦθον ἑκὰς μέλλοντος ὁδεύειν, 36
μειλιχίοις ὀάροισι φιληκόος ἔννεπε Σίμων·
κοίρανε, πῇ σπεύδεις; τίνα μοι, τίνα χῶρον ἱκάνεις;
Ἰησοῦς δ' ἀπάμειπτο καὶ εἰρομένῳ φάτο Πέτρῳ·
οὐ δύνασαι προθέοντος, ὅπη ποδὸς ἴχνος ἐπείγω,
150 ξυνὸς ὀπισθοκέλευθος ἐμὴν ὁδὸν ἄρτι περῆσαι·
ἀλλὰ παλινδίνητος ὅτε χρόνος ὥριος ἔλθῃ,
αὐτὸς ὁμαρτήσειας ἐς ὕστερον. εἶπε δὲ Σίμων· 37
οὐ δύναμαι ταχύγουνος ὀπισθοπόρῳ ποδὶ βαίνων
ὑμετέρης ἀβάτοιο ταμεῖν κενεῶνα κελεύθου;
155 καὶ ψυχὴν ἐθέλουσαν ὑπὲρ σέθεν ἐγγυαλίξω.
Ἰησοῦς δ' ἀδόκητον ἔπος μυθήσατο Πέτρῳ· 38
ψυχὴν ὑμετέρην ἐμέθεν χάριν αὐτίκα θήσεις;
τρὶς δὲ μόνης δασπλῆτι μιῆς ἐνὶ νυκτὸς ἀνάγκῃ
Χριστὸν ἀπαρνήσαιο, πρὶν αὐχένα κυρτὸν ἀείρας
160 ὀξὺ μέλος κλάγξειεν ἐγερσιβόητος ἀλέκτωρ.

ἔχητε ἐν ἀλλήλοις. 36. λέγει * Σίμων (Πέτρος)· κύριε, ποῦ ὑπάγεις; ἀπεκρίθη *αὐτῷ Ἰησοῦς· ὅπου ὑπάγω, οὐ δύνασαί μοι * ἀκολουθῆσαι, ἀκολουθήσεις δὲ ὕστερον. 37. λέγει αὐτῷ Πέτρος· * (διὰ τί) οὐ δύναμαί σοι ἀκολουθῆσαι * ; τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω. 38. ἀποκρίνεται *αὐτῷ Ἰησοῦς· τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις, (ἀμήν, ἀμὴν λέγω σοι,) οὐ μὴ ἀλέκτωρ φωνήσῃ ἕως οὗ ἀπαρνήσῃ με τρίς.

ΚΕΦ. Ξ.

Μὴ νόος ὑμείων δεδονημένος, ἄστατος εἴη, 1
ἀλλὰ θεῷ καὶ ἐμοὶ πιστεύσατε· θεσπεσίην δὲ
υἱέι καὶ γενετῆρι μίαν ξυνώσατε τιμήν.
πολλαὶ δ' ὑψιμέδοντος ἐμοῦ κατὰ δῶμα τοκῆος 2
5 εἰσὶ μοναὶ στοιχηδὸν ὁμόζυγες· εὐρυτενὴς δὲ
εἰ μὴ πουλυμέλαθρος ἐμὴ πέλε πανδόκος αὐλή,
ὑμῖν καί κεν ἔειπον, ὅτι προκέλευθος ὁδεύσω;
ὄφρα κεν ἐντύνω πολυχανδέος ἔνδιον αὐλῆς
ἄξιον ὑμείων νεοτευχέα χῶρον ὑφαίνων.
10 καὶ μετὰ θέσκελον οὖδας ἑτοιμοτάτοιο μελάθρου 3
νοστήσω παλίνορσος ἐς ἄμβροτον οὖδας ἀνέλκων
ὑμέας, ὄφρα μένοιτε συνήλυδες, ὁππόθι μίμνω,
ἀθάνατοι ναετῆρες. ἐμὴν ὁδὸν ἴστε καὶ αὐτοί. 4
ἔννεπεν· εἰςαῖων δὲ διώνυμος ἴαχε Θωμᾶς, 5
15 ὃν Δίδυμον γενετῆρες ἐφήμισαν, ἐξότε κούρῳ
ὀγδοάτης ἀνέτελλε φιλοτμήτου δρόμος ἠοῦς·
οὔπω, ἄναξ, ἐδάημεν, ὅπῃ ποδὸς ἴχνος ἐπείγεις·

---

1. Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· πιστεύετε εἰς τὸν θεόν, καὶ εἰς ἐμὲ πιστεύετε. 2. ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν, ὅτι πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν· 3. * πάλιν ἔρχομαι καὶ παραλήμψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε. 4. καὶ ὅπου ὑπάγω οἴδατε τὴν ὁδόν. 5. λέγει αὐτῷ Θωμᾶς *ὁ λεγόμενος Δίδυμος· κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· πῶς

---

2. cf. Tiedke Herm. XIII 66. 6. πολυμέλαθρος V. 11. οἶκον Marcellus. 12. μένοιτε V μένητε cet. et edd. 15. κούρῳ V κούρου cet. et edd. 16. ὀγδοάτην V Ma.

μέτρα πόθεν δυνάμεσθα μαθεῖν ἀκίχητα κελεύθου;
Ἰησοῦς δ' ἰάχησε φιλήκοον ἄνδρα διδάσκων· 6
ζωὴ ἀληθείη τε καὶ ὄρθιός εἰμι πορείη·
ζωὴ ἐγὼ βιότοιο καὶ ἀτραπός· οὐ δύναται δὲ
εἰς θεόν, εἰς γενετῆρα μολεῖν γαιήιος ἀνήρ,
εἰ μή τις δι' ἐμεῖο θεόσσυτον ἴχνος ἐπείγει
στείχων ὀρθὰ κέλευθα δι' υἱέος εἰς γενετῆρα.
εἰ δὲ θεορρήτῳ με σοφῷ γινώσκετε μύθῳ, 7
ἐξ ἐμέθεν γνώσεσθε καὶ ὑψιμέδοντα τοκῆα·
ἄρτι δέ μιν φράσσασθε καὶ ὑψιμέδοντα μαθόντες.
Ἰησοῦν δὲ Φίλιππος ἑῷ μειλίξατο μύθῳ· 8
ὦ ἄνα, σὸν γενετῆρα τεοῖς ἀνάφαινε μαθηταῖς·
δείκνυε σὸν γενετῆρα καὶ ἄρκιον ἄμμι γενέσθω.
Ἰησοῦς δ' ἀγόρευεν· ἀθηήτοιο τοκῆος 9
συμφυὲς ἔνθεον εἶδος ἔχων βροτοειδέι μορφῇ
τηλίκον εἰμί, Φίλιππε, πολὺν χρόνον ἐνθάδε μί-
μνων
σύννομος ὑμείων, καὶ ἐμὴν οὐκ εἶδες ὀπωπήν;

οἴδαμεν τὴν ὁδόν. 6. λέγει αὐτῷ Ἰησοῦς· ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ. 7. εἰ ἐγνώκατέ με, καὶ τὸν πατέρα μου γνώσεσθε ἄν· καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν. 8. λέγει αὐτῷ Φίλιππος· κύριε, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν. 9. λέγει αὐτῷ ὁ Ἰησοῦς· τοσούτῳ χρόνῳ μεθ' ὑμῶν εἰμί *Φίλιππε, καὶ οὐκ ἔγνωκάς με; ὁ ἑωρακὼς ἐμὲ ἑώρακεν

35 πᾶς βροτός, ὅς με νόησε, καὶ ἄφθιτον εἶδε τοκῆα·
38 καὶ πόθεν αἰτίζεις με μεριζομένῳ τινὶ θεσμῷ·
39 δεῖξον ἐμοὶ γενετῆρα, τὸν ἔδρακες εἰς ἐμὲ λεύσσων;
36 οὔπω πίστιν ἔχεις, ὅτι σύζυγός εἰμι τοκῆος, 10
καὶ γενέτης μεθέπει με μιῇ συναρηρότα μορφῇ;
40 ἐκ κραδίης ὅτε μῦθον ἐρεύγομαι, εἰς ἐμὲ μίμνων
ξυνὸς ἐμοὶ λαλέοντι πατὴρ ἐμὸς ἔργον ὑφαίνει.
οὔπω μάρτυρα μῦθον ἐπιστώσασθε μενοινῇ, 11
ὡς σὺν ἐμοὶ τελέθει γενέτης ἐμός, ὅττι καὶ αὐτὸς
σύμφυτός εἰμι τοκῆος, ἐγὼ λαλέων, ὃ δὲ ῥέζων.
45 εἰ μὴ ἐμοὶ πείθεσθε, σοφοῖς πιστεύσατε μούνοις
ἔργοις ἡμετέροισιν, ἵνα γνώσεσθε καὶ ὑμεῖς
συζυγίην ἀμέριστον ἑνὶ ζευχθεῖσαν ὀχῆι
48 υἱοῦ πατρὶ μένοντος, ἐν υἱέι πατρὸς ἐόντος.
50 πᾶς βροτὸς ἡμετέρην ἀστεμφέα πίστιν ἀέξων, 12

τὸν πατέρα· πῶς σὺ λέγεις· δεῖξον ἡμῖν τὸν πατέρα; 10. οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν; τὰ ῥήματα ἃ ἐγὼ λαλῶ * ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτοῦ. 11. *οὐ πιστεύετε * ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μή, * τὰ ἔργα αὐτὰ πιστεύετε. 12. (ἀμήν, ἀμὴν λέγω ὑμῖν,) ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς

---

35. νοήσει V. 38. 39. 36. 37. versus ipse transposui. 37. cf. Tiedke I 26. 40. interpunctionem correxit Koechly de par. 22. 43. καὶ ξυνὸς ἐμι Pa καὶ vulgo; corr. Hermann cens. 993. σὺν] ἐν Koechly de par. 22. ὅττι] ὡς δὲ Marcellus. 44. ὁ vulgo; corr. Tiedke I 25. 45. πείθησθε V. 46. γνώσεσθε Ma γνώσησθε cet. et edd. ante Iuvenem. καὶ ὑμεῖς V καὶ αὐτοὶ cet. et edd. 49. Bordatus inseruit:

μάρτυρος ἐμπεδόμυθος ἀμὴν λόγος ἔστω.

ἔργα τάπερ τελέω, μιμούμενος αὐτὸς ἀνύσσει.
καὶ τούτων πολὺ μᾶλλον ὑπέρτερα θαύματα ῥέξει,
ὅττι μολεῖν ἀκίχητος ἐπείγομαι εἰς γενετῆρος.
ὁππόσα δ' αἰτίζητε παρ' ὑψίστοιο τοκῆος 13
55 οὔνομα κικλήσκοντες ἐμόν, ξύμπαντα τελέσσω,
56 ὄφρα πατὴρ ἄχραντος ἐν υἱέι κύδιμος εἴη.
59 εἰ δέ με πιστοτάτης φιλίης ξυνώσατε δεσμῷ, 15
60 ἡμετέρην πραπίδεσσι φυλάξατε πᾶσαν ἐφετμήν·
καὶ θεὸν αἰτίζω γενέτην ἐμόν, ὄφρα κεν ὑμῖν 16
οὐρανόθεν πέμψειε παράκλητον μετανάστην,
Χριστῷ σύγγονον ἄλλον, ὁμοίιον, ἔμπεδον αἰεὶ
ἀτρεκίης ὀχετηγόν· ὅπερ πολύμορφος ἀείρειν 17
65 οὐ δύναταί ποτε κόσμος, ὅτι βροτὸς οὔποτε λεύσσει
τηλίκον ἀνδρομέοισιν ἐν ὄμμασιν ἀρχέγονον φῶς,
πνεῦμα θεοῦ γενετῆρος. ἐγαθρήσητε δὲ μοῦνοι
ὑμεῖς ἔνθεον εἶδος ἀθηήτοιο προσώπου,

τὸν πατέρα πορεύομαι, 13. καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ. 14. * 15. ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς *τηρήσατε. 16. κἀγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μεθ' ὑμῶν ᾖ εἰς τὸν αἰῶνα, 17. τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει * · ὑμεῖς *δὲ γνώσεσθε αὐτό, ὅτι παρ' ὑμῖν *μενεῖ καὶ ἐν ὑμῖν ἔσται.

---

52. ῥέξει V ῥέξει cet. et edd. 53. ὅττι om. V. 54. ψίστοιο ὑ contectum est V. 56. ἄχραντος ἄ contectum est V. 57. 58. Bordatus inseruit:

ὅττι μεθ' ὑμείων μενέει καὶ ὁμόστολον ἔσται
70 ὑμῖν, πάντας ἔχων νοερὸν δόμον. οὐ γὰρ ἐάσω 18
ὑμέας οὐρανίης ἰσόζυγος ἐκτὸς ἀρωγῆς
ὀρφανικούς· ταχινὸς δὲ πρὸς ὑμέας αὖτις ἱκάνω.
βαιὸς ἔτι χρόνος ἐστίν, ἐμὴν ὅτε θέσκιδα μορφὴν 19
οὐκέτι κόσμος ἄπιστος ἐσόψεται, ἀλλά με μοῦνοι
75 λεύσσετε, καὶ μετὰ γαῖαν ἀεὶ ζώων ὅτι μίμνω,
76 καὶ δι' ἐμὲ ξύμπαντες ὅτι ζώοιτε καὶ ὑμεῖς.
79 ὅστις ἔχων πρακίδεσσιν ἐμὰς τελέσειεν ἐφετμάς, 21
80 οὗτος ἀνὴρ φιλέει με καὶ εὐαγέως ἀγαπάζων
ἔσται ἐμῷ γενετῆρι θεῷ πεφιλημένος ἀνήρ.
τοῦτον ὁμοστόργῳ καὶ ἐγὼ προσπτύξομαι ἀρθμῷ
καί οἱ θέσκελον εἶδος ἐμοῦ χροὸς αὐτίκα δείξω.
Ἰησοῦν δ' ἀπάμειπτο καὶ ἔννεπεν ἄλλος Ἰούδας, 22

---

18. οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς, ἔρχομαι πρὸς ὑμᾶς. 19. ἔτι μικρόν, καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ· ὑμεῖς δὲ θεωρεῖτέ με, ὅτι ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσεσθε. (20. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς, ὅτι ἐγὼ ἐν τῷ πατρί μου καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν.) 21. ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, κἀγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. 22. λέγει αὐτῷ Ἰούδας, *ὁ Καναναίτης, οὐχ ὁ Ἰσκαριώτης· κύριε, * τί γέγονεν, ὅτι ἡμῖν μέλ-

---

69. πελέει man. rec. μενέει P. 70. ἔχων V ἔχον cet. et edd. cf. Tiedke I 6 et Ludwich Mus. Rhen. 35, 512. γὰρ] μὲν Passow. ἐάσσω V. 71. ὑμεας man. rec. praescriptum est P. 73. θυστάδα Marcellus. 74. ἀλλ' ἐμὲ vulgo; corr. Ludwich Beitr. 25 et Mus. Rhen. 35, 513. 76. ὅτι] ἀεὶ vulgo; corr. Marcellus. lacunam indicavit Koechly de par. 8. Bordatus inseruit:

Ὡς ἐν ἐγὼ γενετῆρι πέλω γνώσεσθ' ἐν ἐκείνῃ
ὑμεῖς καὶ σὺν ἐμοὶ καὶ ἐγὼ ὅθ' ὁμόπλοκος ὑμῖν.

82. ἀριθμῷ edd. princ. corr. Iuvenis.

85 υἱος Ἰακώβοιο, καὶ οὐ θρασὺς Ἰσκαριώτης·
κοίρανε, πῶς τεὸν εἶδος ὁμοφρονέων ἀναφαίνεις
μούνοις σοῖς ἑτάροισι καὶ οὐ θηήτορι κόσμῳ;
Ἰησοῦς δ' ἀγόρευεν ὁμόφρονα φῶτα διδάσκων· 23
ὅστις ἀνὴρ ἐμὲ μᾶλλον ἀνευάζων ἀγαπάζει,
90 μῦθον ἐμὸν πραπίδεσσιν ἀσυλήτοισι φυλάσσει.
καὶ σοφὸν ἀνέρα τοῦτον ἐμὸς γενέτης ἀγαπήσει·
ἄμφω δ' εἰς ἕνα φῶτα πατὴρ καὶ ἔγωγε μολόντες
ἔνδιον αὐτοθέμεθλον ἀναστήσοιμεν ἐν αὐτῷ
ἀνδρομέῳ μίμνοντες ἐν αὐδήεντι μελάθρῳ.
95 ὃς δέ κε μὴ φιλέῃ με, μάτην ἐμὸν οὗτος ἐάσει 24
ληθαίαις ἀκόμιστον ἔπος πεφορημένον αὔραις·
καὶ λόγος οὐκ ἐμὸς οὗτος, ὃν ἔννεπον, ἀλλὰ τοκῆος
οὐρανόθεν πέμψαντος ἐμὲ χραισμήτορα κόσμου.
ὑμείων δ' ὁμόφοιτος ἐπὶ χθονὸς εἰςέτι μίμνων 25
00 εἶπον ἐγὼ τάδε πάντα· παράκλητος δ' ὅταν ἔλθῃ, 26
ὑμέας ἰθυντῆρι λόγῳ ξύμπαντα διδάξει·

λεις ἐμφανίζειν σεαυτόν, καὶ οὐχὶ τῷ κόσμῳ; 23. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. 24. ὁ μὴ ἀγαπῶν με τοὺς λόγους μου οὐ *τηρήσει· καὶ ὁ λόγος, ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς ἀλλὰ τοῦ πέμψαντός με πατρός. 25. ταῦτα λελάληκα ὑμῖν παρ' ὑμῖν μένων· 26. ὁ δὲ παράκλητος (τὸ πνεῦμα τὸ ἅγιον ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου) ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα.

οὗτος ἀναμνήσει πάλιν ὑμέας, ὅσσα περ ὑμῖν
ἔννεπον· εἰρήνην δὲ βιοσσόον ὔμμιν ἐάσω· 27
εἰρήνην ἀτίνακτον ἐμὴν ὁμόφοιτον ὀπάσσω.
105 οὐχ ὡς ὕμμι δίδωσιν ἐθήμονα κόσμος ἀλήτης,
οὕτω ξυνὸν ἔχειν καὶ ἐγὼ γέρας ἐγγυαλίξω·
μὴ κλόνος ὑμετέρην κραδίην, μὴ τάρβος ὀρίνῃ.
νῦν ἐμέθεν βοόωντος ἐμῆς ἠκούσατε φωνῆς, 28
ὅττι παλινδίνητος ἐμῷ καλέοντι τοκῆι
110 εἰς πόλον ὑψιμέλαθρον ἐλεύσομαι ἔνδιον ἄστρων.
εἰ δέ μοι ἀκλινέας φιλίους ἐκεράσσατε θεσμούς,
καί κεν ἀγαλλομένοιο ποδὸς σκιρτήσατε ταρσῷ
ξυνὸν χάρμα φέροντες, ὅτι χθονὸς οὖδας ἐάσας
ἵξομαι ὀψικέλευθος ἐμῷ πέμψαντι τοκῆι.

— — — — — — — — — —

ὑμῖν δ' ἔννεπον ἄρτι προώριον ἔνθεον ὀμφήν, 29
ὄφρα, μίν ἦν τελέσειεν ἕλιξ χρόνος ἄστατος ἕρπων,

ἃ εἶπον ὑμῖν. 27. εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς *ὁ κόσμος δίδωσιν *ὑμῖν ἐγὼ δίδωμι· * μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία μηδὲ δειλιάτω. 28. ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν· ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἄν, ὅτι πορεύομαι πρὸς τὸν πατέρα (ὅτι ὁ πατὴρ μείζων μου ἐστίν). 29. καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι, ἵνα ὅταν γένηται πιστεύσητε *ὅτι ἐγὼ

---

102. αὐτὸς vulgo; ipse correxi. παρ' vulgo, corr. Marcellus, quod probavit Ludwich Beitr. 29. 103. ὑμῖν Pa ὕμμιν V. 105. ὕμμιν V ὕμμι MaPa ὕμμι in ras. et in marg. adscr. P. 106. τέρας PPa corr. Iuvenis. 108. ἐμέθε Pa. 109. ὅτι V. 110. in marg. s. ἔνδιον repetitum est V. 111. με Pa φιλίους V φιλίης cet. et edd. ἐκεράσατε vulgo. corr. Passow. ἐχαράσσατε (!) Marcellus. cf. Tiedke I 36. 113. ἐάσσας V. 115. Bordatus inseruit:

οὕνεχ' ὅλων μεδέων γενέτης ἐμεῦ ἔπλετο μείζων.

117. τελέσειεν postea insertum est Pa.

μῦθον ἀναμνήσησθε παλαίφατον, ὅττι περ ὑμῖν
ἐσσόμενον θέσπισσα προάγγελα χείλεα λύσας.
ὑμῖν δ' οὐκέτι πολλὰ διίξομαι· ἀπροϊδὴς γὰρ 30
ἀενάου κόσμοιο φανήσεται ἀρχὸς ἀγήνωρ.
ἔρχεται οὐδὲν ἔχων ἐν ἐμοὶ μέρος, ἀλλ' ἵνα μοῦνον 31
μάρτυς ἐμὸς φράσσαιτο δαήμονι κόσμος ἀκουῇ,
ὡς φιλέω γενετῆρα καὶ ὡς πεφυλαγμένα ῥέζω,
ὅσσα κυβερνητῆρι πατὴρ ἐπετέλλετο μύθῳ.
στῆτε καὶ ἴομεν ἔνθεν.

ΚΕΦ. Ο.

Ἐγὼ παλιναυξέι κόσμῳ 1
ζωῆς ἄμπελός εἰμι, πατὴρ δ' ἐμός ἐστιν ἀλωεύς.
κλῆμα δὲ καλλιπέτηλον, ὃ μὴ μάθε βότρυν ἀέξειν, 2
τοῦτο διατμήγει, τὸ δὲ ποικίλον οἴνοπι καρπῷ
γειοπόνος βιότοιο πατὴρ ἐμὸς οἶδε καθαίρειν,
ἀρτιφύτοις πετάλοις ἵνα μείζονα καρπὸν ἀέξῃ.

εἶπον *ὑμῖν. 30. οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν, 31. ἀλλ' ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα, καὶ καθὼς ἐντολὴν ἔδωκέν μοι ὁ πατήρ, οὕτως ποιῶ. ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.

1. Ἐγώ εἰμι * ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστιν. 2. πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτό, καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτὸ ἵνα

---

118. ἀναμνήσσθε V αλαίφατον V. 119. ἐσσόμενον ἐς contectum est V θέσπισσα codd. et add. [illegible]

νῦν καθαροὶ διὰ μῦθον, ὃν ἔννεπον, ἐστὲ καὶ
αὐτοί· 3
μίμνετε συμπεφυῶτες ἐμῷ παλιναυξέι θάμνῳ, 4
μίμνετε συμπεφυῶτες ἐμοί, βλαστήματα κόσμου.
ἡμερίδων ὡς κλῆμα δυνήσεται οὔποτε τίκτειν,
εἰ μὴ ἐν ἀμπελόεντι φυτῷ δενδρούμενον εἴη,
βοτρυόεν μίμημα πολυπτόρθοιο κορύμβου,
εἰ μὴ συμπεφυῶτες ἐμοὶ μίμνητε καὶ αὐτοί,
ὑμέας οὐ σθένος ἐστὶ θεουδέα καρπὸν ἀέξειν.
ἄμπελος αὐδήεσσα πέλω, καὶ ὁμόζυγες ὑμεῖς 5
κλήματα φωνήεντα σοφῷ βεβριθότα καρπῷ·
πᾶς βροτὸς ἐμπεδόμητις ὁμόπλοκος εἰς ἐμὲ μίμνων
οὗτος ἀναλδαίνει θεοτερπέα μείζονι μέτρῳ
καρπὸν ἀεὶ θαλέθοντα καὶ οὐ μινύθουσαν ὀπώρην.
εἰ δέ τις ἡμετέροισιν ἐν ἔρνεσι μηκέτι μίμνων 6
ἀμπελόεν μίμημα χυτῇ χθονὶ βάλλεται ἔξω
ἡμερίδων ὡς κλῆμα· καὶ ἐκταδὸν ὑψόθι γαίης

καρπὸν πλείονα φέρῃ. 3. ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν· 4. μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μένῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μένητε. 5. ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν, *
6. ἐὰν μή τις μένῃ ἐν ἐμοί, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη, καὶ συνάγουσιν αὐτὸ καὶ εἰς τὸ πῦρ βάλλουσιν, καὶ

---

7. interpunctionem correxit Gerhard l. c. 225. cf. Hermann cens. 999. 9. μίμνεται P. 12. πτολυπόρθοιο Pa. 18. θεοτερπέα V θεοπειθέα cet. et edd. 19. θαλέοντα V ἀειθαλέθοντα edd. ante Stephanum. 20. ἄρνεσι vulgo; corr. Iuvenis. cf. Hermann cens. 999. 21. βάλλετ cet. contecta sunt V. 22. ἐ αδὸν cet. contecta sunt V.

κείμενος ἀξαλέῳ ξηραίνεται ἶσα κορύμβῳ·
καί μιν ἀναλλέξαντες ἔσω βάλλουσι καμίνου
25 αἰθέριοι δρηστῆρες· ὃ δὲ φλογέῳ πυρὸς ἀτμῷ
καίεται ἀμπελόεντας ἐμοὺς ὄρπηκας ἐάσας.
εἰ δ' ἐν ἐμοὶ μίμνητε, καὶ ἡμετέρης ῥόος αὐδῆς 7
ὑμέας ἀρδεύων ὑποκάρδιος ἔμπεδος εἴη,
ὅσσα λαβεῖν ἐθέλητε καὶ αἰτίζητε τοκῆα,
30 ὑμῖν εἰν ἑνὶ πάντα τελείεται. ἀμφὶ δὲ τούτῳ 8
ἡμέτερος γενέτης ὑψίζυγον ἔλλαχε τιμήν,
ὑμεῖς ὄφρα φέρητε θεοῦ ζωαρκέι μύθῳ
πίστιος ἔμφρονα καρπόν, ἐμοὶ δ' ἔσσεσθε μαθηταὶ
ἤθεσιν ἀτρέπτοισιν ἀληθέες. ὑψινεφὴς δὲ 9
35 ὥς με πατὴρ ἐφίλησεν ἀλωφήτῳ τινὶ θεσμῷ,
ὑμέας ὣς ἀγάπαζον· ἐμῷ δ' ἐπιμίμνετε φίλτρῳ·
αἴ κεν ἀκοιμήτοισιν ἐμὸς λόγος οὔατα δύνων 10
ὑμετέραις πραπίδεσσιν ἀεὶ φρουρούμενος εἴη,
δεσμὸν ἐμῆς φιλότητος ὑπὸ φρένας αἰὲν ἀέξει

καίεται. 7. ἐὰν *μένητε ἐν ἐμοὶ καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἂν θέλητε αἰτήσασθε, καὶ γενήσεται ὑμῖν. 8. ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε καὶ γένησεσθε ἐμοὶ μαθηταί. 9. καθὼς ἠγάπησέν με ὁ πατὴρ κἀγὼ ἠγάπησα ὑμᾶς· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. 10. ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τοῦ πατρὸς * τὰς ἐντολὰς τετήρηκα καὶ μένω

40 ὥς καὶ ἐγὼ γενετῆρος ἀμεμφέα θεσμὰ φυλάσσων
πατρῴης ἀγάπης ἀπονήμενος εἰςέτι μίμνω.
ὑμῖν δ' ἔμπεδα ταῦτα φίλα φρονέων ἀγορεύω, 11
ὑμείων ἵνα χάρμα πέλοι καὶ πᾶσιν ἐν ὑμῖν
χάρμα πολυσφήγιστον ἐμὸν τετελεσμένον εἴη.
45 ἀπλανέος σοφὸς οὗτος ἐμῆς ὅρος ἐστὶν ἐφετμῆς, 12
ἀλλήλους ἵνα πάντες ἀεὶ φιλέοιτε καὶ ὑμεῖς,
(δεσμὸν ἐς ἀλλήλους φιλίης ἀλύτοιο φυλάσσειν),
ὑμέας ὣς ἀγάπαζον· ἐγὼ δ' ἄρα μείζονα ταύτης 13
τοσσατίης ἀγάπης ἑτέρην οὐκ οἶδα νοῆσαι,
50 λύτρον ἑῶν ἑτάρων ζωάγριον ὄφρα τις αὐτὴν
ψυχὴν πασιμέλουσαν ἀλεξήτειραν ὀπάσσῃ.
ὑμεῖς εἰν ἑνὶ πάντες ἐμοὶ φίλοι, αἴ κεν ἐφετμὰς 14
ἡμετέρας τελέσητε βιαρκέας, ἃς ἐπιτέλλω.
ὑμέας οὐκέτι πάντας ἐμοὺς θεράποντας ἐνίψω· 15

αὐτοῦ ἐν τῇ ἀγάπῃ. 11. ταῦτα *δὲ λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν ᾖ καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. 12. αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς. 13. μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα *τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. 14. ὑμεῖς φίλοι μου ἐστέ, ἐὰν ποιῆτε ἃ ἐγὼ ἐντέλλομαι ὑμῖν. 15. οὐκέτι λέγω ὑμᾶς δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδεν τί ποιεῖ αὐτοῦ ὁ κύριος·

---

40. ὥς κεν vulgo; corr. Hermann cens. 999. 41. ἀπονεύμενος vulgo; corr. Marcellus. 42. ταῦτα φίλα] φίλα τάδε V. cf. Tiedke I 25. 43. μένοι Ma πέλοι supra man. rec. P πέλοι. 45. ἐμῆς VMa ἐμὸς cet. et edd. ante Nansium; cf. Hermann Orph. 818 et cens. 999. ὁδός V. 47. versum recte eiecit Nansius. 48. ὑμᾶς Pa. 50. λύτρων P corr. Bogardus. τίς V inter 48 et 50 in marg. scriptum est γρ. ὁδος quod ad 45 pertinere videtur P. 51. χὴν initium contectum est; ἀ εξήτειραν V. 52. ἔσσετε Marcellus (!). versus clausula inde a voce αἴ alt. m. Ma. 54. versus clausula alt. m. Ma.

55 δοῦλος ἀνὴρ οὐκ οἶδε, τί κοίρανος ἔργον ὑφαίνει,
δοῦλος ἀνὴρ οὐκ οἶδεν· ἐμοὺς δ' ὀνόμαινον ἑταίρους
ὑμέας· ὅσσα γὰρ αὐτὸς ἐπουρανίης ἀπὸ φωνῆς
ἔκλυον ἡμετέροιο φιλοστόργοιο τοκῆος,
ὑμῖν πᾶσιν ἔφηνα· καὶ οὐ βροτέῃ με μενοινῇ 16
60 ὑμεῖς ἐξελέγεσθε· διακρίνων δὲ μαθητὰς
ὑμέας ἐκ πολέων νοερῇ φρενὶ πάντας ἐδέγμην
πιστοτέρους καὶ ἔθηκα συνήλυδας, ὄφρα μολόντες
καρπὸν ἀεξήσητε, καὶ ὑμείων σπόρος εἴη
κάρπιμος εἰς αἰῶνα. καὶ ἱκεσίῳ τινὶ μύθῳ
65 ὅττι κεν αἰτίζητε παρ' ὑψίστου βασιλῆος
οὔνομα κικλήσκοντες ἐμόν, ξύμπαντα τελέσσω.
ταῦτα θεοπροπέων ἐπιτέλλομαι ἔμφρονι μύθῳ, 17
δεσμὸν ἐς ἀλλήλους φιλίης ἀλύτοιο φυλάσσειν.
ὑμέας εἰ στυγέει σφαλερῇ φρενὶ κόσμος ἀγήνωρ, 18
70 τοῦτο χαμαιγενέων γινώσκετε μάρτυρες ἔργων,
ὑμείων ὅτι μᾶλλον ἐπεσβολίῃσιν ἐλέγχων

ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα *ὅσα ἤκουσα παρὰ του πατρός μου ἐγνώρισα ὑμῖν. 16. οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ ἔθηκα ὑμᾶς ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε καὶ ὁ καρπὸς ὑμῶν μένῃ, ἵνα ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου *δῷ ὑμῖν. 17. ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. 18. εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον *ὑμῶν *ἐμίσησεν.

πρῶτον ἐμὲ στυγέεσκε· καὶ εἰ χθονίων τύπον ἀν-
δρῶν 19
ἦθος ἀλιτροβίοιο βιοπλανὲς εἴχετε κόσμου,
ὑμέας ὡς ἰδίους ἑταρίζετο κόσμος ἀλήτης·
75 ἀλλ' ἐπεὶ ἀμπλακίην βροτέης οὐκ ἴστε γενέθλης
καὶ σκολιὰς κόσμοιο μεληδόνας, ἀφραδέος δὲ
ὑμέας ἐκ κόσμοιο νοήμονας αὐτὸς ἐδέγμην,
ὡς νόθον, ἀνδρομέης οὐ γνήσιον αἷμα γενέθλης
ὑμέας ἔστυγε κόσμος. ἐν ἀτρέπτῳ δὲ μενοινῇ 20
80 ἡμετέρου μέμνησθε σαόφρονος εἰςέτι μύθου·
82 δοῦλος ἀνὴρ οὐκ ἔστιν ἑοῦ βασιλῆος ἀρείων·
οὐδέ τινος πέμψαντος ἀπόστολος ἔπλετο μείζων·
εἰ βροτέη με δίωκεν ἀπειλήτειρα γενέθλη,
85 ἐξελάσει μετόπισθε καὶ ὑμέας. εἰ δὲ καὶ αὐτὸν
μῦθον ἐμὸν πραπίδων φρουρούμενον ἔνδοθι κεύθει,
καὶ λόγον ὑμείων κραδίης ἔντοσθε φυλάξει.
ταῦτα δὲ πιστὸν ἐμεῖο δι' οὔνομα φῶτες ἀλιτροὶ 21

19. εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. 20. μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ *οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. 21. ἀλλὰ ταῦτα

72. ἐγχθονίων Sylburgius; corr. Hermann cens. 999. 80. εἰς om. V μέμνημαι in marg. d. μέμησθε PPa. 81. Bordatus inseruit:

εἰς ἓν ἀγειρομένοις τὸν πρωὴν ἔννεπον ὑμῖν.

84. ἀπειλήτηρα V γενέθ reliqua contecta sunt V. 85. ἐξελάσσει μετόπισθεν V. δέ om. edd. ante Bogardum, qui εἴτε scripsit. αὐτὴ Marcellus. 86. ἐμῶν vulgo; corr. Iuvenis. 87. ἔντοσθεν V.

ζηλομανεῖς τελέσουσιν ἐς ὑμέας· ἀμφοτέρους γὰρ
90 οὔτε με γινώσκουσι καὶ οὐ πέμψαντα τοκῆα.
εἰ μὴ πατρὸς ἵκανον ἐγὼ ζωαρκέι πομπῇ 22
πᾶσι θεουδείης ἐνέπων ὁδόν, οὐκ ἂν ἐκεῖνοι
εἶχον ἀλιτροσύνην νεμεσήμονα· νῦν δὲ μαθόντες
94 οὐ πρόφασιν μεθέπουσιν ἐλεύθερον ἄφρονος ἄτης.
98 εἰ μὴ ἐγὼ κάμον ἔργα, τὰ μὴ μάθεν ἄλλος
ἀνύσσαι, 24
αὐτῶν δερκομένων, ὅτε μάρτυρες ἦσαν ὀπωπαί,
100 οὐκ ἂν ἀτασθαλίης ποινήτορας εἶχον ἀμοιβάς.
νῦν δὲ καὶ εἰςορόωσι καὶ ἀμφοτέρους ἑνὶ θεσμῷ
αὐτὸν ἐμὲ στυγέουσι καὶ ὑψιμέδοντα τοκῆα.
ἀλλὰ νόμου γραφικοῖο τόπερ φάτο θέσκελος ὀμφὴ 25
ἀνέρος εὐφόρμιγγος, ὅπως τετελεσμένον εἴη·

πάντα ποιήσουσιν εἰς ὑμᾶς διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασιν τὸν πέμψαντά με. 22. εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχοσαν· νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν περὶ τῆς ἁμαρτίας αὐτῶν. (23. ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ.) 24. εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος ἐποίησεν, ἁμαρτίαν οὐκ εἴχοσαν· νῦν δὲ καὶ ἑωράκασιν καὶ μεμισήκασιν καὶ ἐμὲ καὶ τὸν πατέρα μου. 25. ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ ἐν τῷ νόμῳ αὐτῶν γεγραμμένος, ὅτι ἐμίσησάν με δωρεάν.

---

89. τελέθουσιν V. 90. οὔτ' ἐμὲ vulgo; corr. Ludwich Beitr. 20. 92. θεουδείης ὁδὸν ἔννεπον vulgo; corr. Tiedke I 38. Hermann cens. 999 θεουδείης θ' voluit, quod reiecit Ludwich Beitr. 23. δ' Marcellus. 95 — 97. Bordatus inseruit:

Ὅστις [illegible]

105 προικὸς ἐμὲ στυγέεσκον. ἐπὴν δ' ἐπιδήμιον ἔλθῃ 26
πνεῦμα θεοῦ νοεροῖο διορνύμενον γενετῆρος,
πνεῦμα τόπερ παρὰ πατρὸς ἐς ὑμέας αὐτὸς ἰάλλω,
πολλά με κηρύξειε παρ' ἀνδράσι· πολλὰ καὶ ὑμεῖς 27
ἀμφ' ἐμέθεν φθέγγεσθε δαήμονι μάρτυρι μύθῳ·
110 καὶ γὰρ ἐμοὶ παρεόντες ὁμόφρονές ἐστε μαθηταὶ
ἐξ ἀρχῆς γεγαῶτες ὅλων θηήτορες ἔργων·

ΚΕΦ. Π.

Ὑμῖν δ' ἔμπεδα ταῦτα προθεσπίζων ἀγορεύω, 1
μὴ θρασὺς οἶστρος ἄπιστος ἐς ὑμετέρην φρένα βαίνῃ·
ὑμέας ἐξελάσουσι θεοκλήτοιο μελάθρου· 2
ἀλλὰ ταχὺς χρόνος οὗτος, ὅτε φρεσὶ πᾶς βροτὸς ἀνήρ,
5 ὑμέας ὃς κτείνειεν ἀλοιητῆρι σιδήρῳ,
δουλοσύνην ἔλποιτο θεῷ φιλέοντι τελέσσαι

26. ὅταν *δὲ ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμπω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. 27. καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι *ἐξ ἀρχῆς μετ' ἐμοῦ ἐστέ.

1. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. 2. ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ

105. περὶ τοῦ παρακλήτου in marg. s. PPa; eadem inscriptio sequitur hunc versum in medio folio V.

2. ὑμετέραν vulgo; corr. Hermann cens. 999. 3. εας priores literae contectae sunt; nec minus in voce θεοκλήτοιο syllabae θεο V. 4. ἀλλὰ supra ψ (?) V. 5. in marg. σιδήρω repetitum est V. 6. δουλοσύν cet. desunt V. φιλέωντι edd. ante Bogardum.

ἄνδρα θυηπολέων βοέης μίμημα γενέθλης,
ἰσάζων θυέεσσι βοῶν φθισήνορα λοιβήν.
καὶ τὰ μὲν οἰστρηθέντες ἀμερσινόῳ τινὶ λύσσῃ 3
10 δυςσεβέες τελέσουσιν ἐς ὑμέας· οὐδὲ γὰρ αὐτοὶ
υἱέα γινώσκουσι καὶ ὑψιμέδοντα τοκῆα.
ἀλλὰ τὰ μὲν ξύμπαντα προέννεπον, ὄφρα κεν αὐτῶν, 4
ὄψιμος ἀγχιτέλεστος ὅτε χρόνος ὥριος ἔλθῃ,
ἡμετέρων μνήσησθε προάγγελα θέσφατα μύθων.
15 ταῦτα δὲ μυθοτόκου κραδίης κεκαλυμμένα σιγῇ
ἐξ ἀρχῆς νοέων οὐκ ἔννεπον εἰςέτι μίμνων
ὑμείων ὁμόφοιτος ἐπὶ χθονί· νῦν δὲ τοκῆι 5
ἵξομαι ὀψικέλευθος ἐς αἰθέρα γαῖαν ἐάσας·
οὐδέ τις ὑμείων με παραδρήσσων ἐρεείνει·
20 κοίρανε, πῆ σπεύδεις; τίνα μοι, τίνα χῶρον ἱκάνεις;
ἀλλ' ὑμῖν ὅτι ταῦτα διήιον, ἠνίδε πολλὴ 6
ὑμετέρην ἔπλησεν ὅλην φρένα πενθὰς ἀνίη.

ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ. 3. καὶ ταῦτα ποιήσουσιν *εἰς ὑμᾶς, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ. 4. ἀλλὰ ταῦτα λελάληκα ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν, ὅτι ἐγὼ εἶπον ὑμῖν. ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην· 5. νῦν δὲ ὑπάγω πρὸς τὸν *πατέρα (πέμψαντά με). καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· ποῦ ὑπάγεις; 6. ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη

105 προικὸς ἐμὲ στυγέεσκον. ἐπὴν δ' ἐπιδήμιον ἔλθῃ 26
πνεῦμα θεοῦ νοεροῖο διορνύμενον γενετῆρος,
πνεῦμα τόπερ παρὰ πατρὸς ἐς ὑμέας αὐτὸς ἰάλλω,
πολλά με κηρύξειε παρ' ἀνδράσι· πολλὰ καὶ ὑμεῖς 27
ἀμφ' ἐμέθεν φθέγγεσθε δαήμονι μάρτυρι μύθῳ·
110 καὶ γὰρ ἐμοὶ παρεόντες ὁμόφρονές ἐστε μαθηταὶ
ἐξ ἀρχῆς γεγαῶτες ὅλων θηήτορες ἔργων·

ΚΕΦ. Π.

Ὑμῖν δ' ἔμπεδα ταῦτα προθεσπίζων ἀγορεύω, 1
μὴ θρασὺς οἶστρος ἄπιστος ἐς ὑμετέρην φρένα βαίνῃ·
ὑμέας ἐξελάσουσι θεοκλήτοιο μελάθρου· 2
ἀλλὰ ταχὺς χρόνος οὗτος, ὅτε φρεσὶ πᾶς βροτὸς ἀνήρ,
5 ὑμέας ὃς κτείνειεν ἀλοιητῆρι σιδήρῳ,
δουλοσύνην ἔλποιτο θεῷ φιλέοντι τελέσσαι

26. ὅταν *δὲ ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμπω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. 27. καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι *ἐξ ἀρχῆς μετ' ἐμοῦ ἐστέ.

1. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. 2. ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ

105. περὶ τοῦ παρακλήτου in marg. s. PPa; eadem inscriptio sequitur hunc versum in medio folio V.

2. ὑμετέραν vulgo; corr. Hermann cens. 999. 3. εας priores literae contectae sunt; nec minus in voce θεοκλήτοιο syllabae θεο V. 4. ἀλλὰ supra ψ (?) V. 5. in marg. σιδήρω repetitum est V. 6. δουλοσύν cet. desunt V. φιλέωντι edd. ante Bogardum.

ἄνδρα θυηπολέων βοέης μίμημα γενέθλης,
ἰσάζων θυέεσσι βοῶν φθισήνορα λοιβήν.
καὶ τὰ μὲν οἰστρηθέντες ἀμερσινόῳ τινὶ λύσσῃ 3
10 δυσσεβέες τελέσουσιν ἐς ὑμέας· οὐδὲ γὰρ αὐτοὶ
υἱέα γινώσκουσι καὶ ὑψιμέδοντα τοκῆα.
ἀλλὰ τὰ μὲν ξύμπαντα προέννεπον, ὅφρα κεν αὐτῶν, 4
ὄψιμος ἀγχιτέλεστος ὅτε χρόνος ὥριος ἔλθῃ,
ἡμετέρων μνήσησθε προάγγελα θέσφατα μύθων.
15 ταῦτα δὲ μυθοτόκου κραδίης κεκαλυμμένα σιγῇ
ἐξ ἀρχῆς νοέων οὐκ ἔννεπον εἰςέτι μίμνων
ὑμείων ὁμόφοιτος ἐπὶ χθονί· νῦν δὲ τοκῆι 5
ἵξομαι ὀψικέλευθος ἐς αἰθέρα γαῖαν ἐάσας·
οὐδέ τις ὑμείων με παραδρήσσων ἐρεείνει·
20 κοίρανε, πῇ σπεύδεις; τίνα μοι, τίνα χῶρον ἱκάνεις;
ἀλλ' ὑμῖν ὅτι ταῦτα διήιον, ἠνίδε πολλὴ 6
ὑμετέρην ἔπλησεν ὅλην φρένα πενθὰς ἀνίη.

ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ. 3. καὶ ταῦτα ποιήσουσιν *εἰς ὑμᾶς, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ. 4. ἀλλὰ ταῦτα λελάληκα ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν, ὅτι ἐγὼ εἶπον ὑμῖν. ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην· 5. νῦν δὲ ὑπάγω πρὸς τὸν *πατέρα (πέμψαντά με). καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· ποῦ ὑπάγεις; 6. ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη

ἀτρεκίην δ' ἀγόρευον ἀμεμφέα· τηλεφανῆ δὲ 7
ὑμῖν λώιόν ἐστιν ἐς οὐρανὸν ὄφρα περήσω.
25 εἰ μὴ γὰρ παλίνορσος ἐς αἰθέρα νόστιμος ἔλθω,
πνεῦμα θεοῦ ζώοντος ἐς ὑμέας οὔποτε βαίνει.
ἢν δὲ μόλω, μετὰ γαῖαν ἀπ' αἰθέρος αὐτὸς ἰάλλω.
ἐλθὼν δ' ἐνθάδε κεῖνος ἀπειθέα κόσμον ἐλέγξει 8
εἵνεκα δυςσεβίης ἀλιτήμονος, ἀλλὰ καὶ αὐτῆς
30 ἀμφὶ δικαιοσύνης καὶ κρίσιος. ἀμπλακίης μέν, 9
ὅττι κεν εἰς ἐμὲ πάντες ἀπειθέες· εὐσεβέος δὲ 10
ἀμφὶ δικαιοσύνης, ὅτι νόστιμος εἶμι τοκῆι,
οὐδέ με θηήσεσθε συνέστιον εἰςέτι φωτῶν.
εἵνεκα δὲ κρίσιος ποινήτορος, οὕνεκα κόσμου 11
35 κέκριται ἀενάοιο πολύτροπος ἀρχὸς ἀγήνωρ.

πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. 7. ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. 8. καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως. 9. περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ· 10. περὶ δικαιοσύνης δέ, ὅτι πρὸς τὸν πατέρα ὑπάγω καὶ οὐκέτι θεωρεῖτέ με· 11. περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου

---

23. τελεφανῆ PPa corr. Iuvenis in marg. τε P. τηλεφανῆ τε Marcellus. 25. γὰρ om. Pa νόστιμον P; corr. Iuvenis. 27. αἰθέρα PPa; corr. Iuvenis. 28. ἐλθὼν codd. et edd. ante Iuvenem, qui ἐλθὸν scripsit. δ' ἐκεῖνος ἐνθάδε V κεῖνος Ma κεῖνο cet. et edd., quod iam coniectura emendavit Gerhard l. c. 204. cf. Hermann cens. 999, et quod ipse disserui Z. f. d. ö. G. 1878 p. 901. 29. ἀλλὰ] ἅμα Marcellus (!). 31. ἀπ ες εὐσεβέ V κεν] vulgo; καὶ Hermann cens. 999. 32. εἶμι Ma νόστιμος εἶμι V νόστιμός εἶμι cet. et edd. 34. οὕνεκα κόσμου Ma οὕνεκα κ μου V; εἵνεκα κόσμου cet. et edd.; e coniectura locum sanavit Tiedke I 8.

πολλὰ δ' ἔχων ἐνέπειν ἀναδύομαι. οὐ γὰρ ἀκούειν 12
πλείονος ἄρτι δύνασθε. παράκλητος δ' ὅταν ἔλθῃ, 13
πάντα κυβερνήσειεν· ἀληθείῃ δ' ἐνὶ πάσῃ
ὑμείων ὀχετηγὸς ἐς ἀτραπὸν ἡγεμονεύσει·
40 οὐδὲ γὰρ αὐτοκέλευστος, ἀνήκοος οὐδὲν ἐνίψει,
ἀλλ' ὅπερ εἰςαΐει, καὶ φθέγγεται. ἐσσομένων δὲ
ὑμῖν εἰν ἑνὶ πᾶσι προθεσπίζει τέλος ἔργων.
οὗτος ἰὼν παρὰ πατρὸς ἀνυψώσει με γεραίρων, 14
ὅττι κεν ἡμετέροιο δεδεγμένος ἐκ γενετῆρος
45 ὑμῖν συμμιγέεσσι προώρια θέσφατα φαίνει,
ὅσσα περ ἔσσεται ὔμμι. καὶ ἀρχεγόνῳ τινὶ θεσμῷ 15
κλῆρος ἐμὸς πέλε πάντα, πατὴρ ἐμὸς ὅσσα κομίζει·
οὗ χάριν ὔμμιν ἔειπον, ὅτι ζαθέοιο τοκῆος
δέγμενος ἡμετέροιο προαγγέλλει τέλος ἔργων.
50 βαιὸς ἔτι χρόνος ἐστὶ λελειμμένος, εὖτέ με
κόσμου 16

---

* κέκριται. 12. ἔτι πολλὰ ἔχω ὑμῖν λέγειν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· 13. ὅταν δὲ ἔλθῃ ἐκεῖνος, (τὸ πνεῦμα τῆς ἀληθείας) ὁδηγήσει ὑμᾶς ἐν τῇ ἀληθείᾳ πάσῃ· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἀκούει λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. 14. ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήμψεται καὶ ἀναγγελεῖ ὑμῖν. 15. πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστιν· διὰ τοῦτο εἶπον *ὑμῖν ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει καὶ *ἀναγγέλλει ὑμῖν. 16. μικρόν, καὶ οὐκέτι θεωρεῖτέ με, καὶ πάλιν μικρόν, καὶ ὄψεσθέ με, *ὅτι ὑπάγω

---

36. ἔγω ἐννέπειν P et edd. corr. Iuvenis. ἐννέπειν VPa.

οὐκέτι θηήσεσθε συνέμπορον· ἀγχιφανὴς δὲ
λείπεται εἰςέτι βαιὸς ἕλιξ χρόνος, εὖτέ με μοῦνοι
ἔμπαλιν ἀθρήσητε, καὶ αἰθερίων ἐπὶ κόλπων
ἵξομαι εἰς γενετῆρα. καὶ ἐφθέγγοντο μαθηταὶ 17
55 μῦθον ὑποκλέπτοντες ἔσω φρενὸς ἔγκυον αὐδῆς,
γλώσσης ἀγχικέλευθον, ἀμιλλητῆρα σιωπῆς·
τίς τελέθει λόγος οὗτος, ὃν ἔννεπεν· ὡς ἔτι βαιός,
βαιὸς ἔτι χρόνος ἐστὶ λελειμμένος, εὖτέ με κόσμου
οὐκέτι θηήσεσθε συνέμπορον· ἀγχιφανὴς δὲ
60 λείπεται εἰςέτι βαιὸς ἕλιξ χρόνος, εὖτέ με μοῦνοι
ἔμπαλιν ἀθρήσητε, καὶ ἵξομαι εἰς γενετῆρα;
Ἰησοῦς δ' ἑτάρων δεδαημένος αἰόλον ἦθος, 19
ὅττι συνεφθέγγοντο καὶ ἤθελον ἐξερεείνειν,
προφθαδίην ἀγόρευε περισσονόοισι μαθηταῖς·
65 τίπτε μετ' ἀλλήλων μαστεύετε γείτονι φωνῇ,
εἰ μετὰ βαιὸν ἔειπον ἀπὸ βλεφάρων μεταβαίνω,
καὶ πάλιν εἰςέτι βαιὸν ἐςαθρήσητε φανέντα;

πρὸς τὸν πατέρα. 17. εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· τί ἐστιν τοῦτο ὃ λέγει ἡμῖν· μικρόν, καὶ *οὐκέτι θεωρεῖτέ με, καὶ πάλιν μικρόν, καὶ ὄψεσθέ με; καὶ ὅτι ὑπάγω πρὸς τὸν πατέρα; 18. * 19. ἔγνω *οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν αὐτοῖς· περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων, ὅτι εἶπον μικρόν, καὶ οὐ θεω-

---

52. μοῦνοι ad v. 53 scriptum est. 53. ἐπὶ] διὰ Marcellus. 55. ἔγκυον VMa ἔγγυον cet. et edd. emendavit e coniectura Hermann cens. 999, Koch l. c. 193; Marcellus; cf. Tiedke Herm. XIII 271. 58. με om. Pa. 60. λ πεται εἰς ἔτι βαιὸς ξ V. 62. ἤτορ vulgo; corr. Struve l. c. 22; cf. Tiedke I 45. 63. συν φθέγγοντο V. 65. γλώσσῃ vulgo; corr. Lehrs l. c. 262 (errore φωνῆς); cf. Ludwich Beitr. 111 et quod ipse disputavi Quaest. Nonn. I 27.

ὅρκιον ἐμπεδόμυθον ἀμήν, ἀμὴν ἀγορεύω· 20
κλαύσετε καὶ θρήνους ἐπαείσετε. λυσσαλέος δὲ
70 κόσμος ἐπ' οὐχ ὁσίοισι χαρήσεται· ἀλλὰ καὶ αὖτις
πένθιμος ὑμετέρης μετανείσσεται οἶστρος ἀνίης·
ὅττι γυνὴ βαρύφορτος ἄχος περὶ θυμὸν ἑλίσσει, 21
ὀξυτέροις βελέεσσιν ἱμασσομένη τοκετοῖο· —
ὥρην γὰρ τρομέει βαρυώδυνον — ἣν δὲ λοχεύσῃ,
75 δριμὺ πεπαινομένης ἀποσείεται ἄχθος ἀνίης
καὶ προτέρης ὀδύνης οὐ μνώεται, ὅττι καὶ ἄλλος
ἀρτιφανὴς βλάστησεν ἀνὴρ παλιναυξέι κόσμῳ.
ἀγχιτόκου μίμημα λεχωίδος ἄρτι καὶ ὑμεῖς 22
πρῶτα μὲν ἀγρύπνοισιν ἀμύξετε θυμὸν ἀνίαις·
80 ἀλλά που ἀθρήσω πάλιν ὑμέας· ὑμετέρη δὲ
γηθήσει κραδίη παλινάγρετος· ὀψιφανὲς δὲ
χάρμα παρ' ὑμείων ἀμετάτροπον οὔτις ἀμέρσει
εἰς χρόνον οὐ λήγοντα· καὶ ὡς πάρος ἤματι κείνῳ 23

ρεῖτέ με, καὶ πάλιν μικρόν, καὶ ὄψεσθέ με; 20. ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· (ὑμεῖς λυπηθήσεσθε,) ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. 21. ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς. ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως (διὰ τὴν χαράν), ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. 22. καὶ ὑμεῖς οὖν νῦν μὲν λύπην *ἕξετε· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς *ἀρεῖ ἀφ' ὑμῶν, 23. καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. (ἀμήν, ἀμὴν λέγω ὑμῖν,) *ὅτι *ὅσα

οὐδὲν ἔτι προτέρων με σοφῷ προςπτύσσετε μύθῳ·
85 ὅσσα γὰρ αἰτίζητε θεοκλήτῳ τινὶ φωνῇ,
ἔσσεται ἔμπεδα ταῦτα χαριζομένοιο τοκῆος.
μέχρι δὲ νῦν οὔπω βιοτήσιον ἔργον ἀνύσσαι 24
πατρόθεν ᾐτήσασθε φίλον γέρας· ἀλλὰ τελέσσαι
ἄρτι πάλιν λίσσεσθε, καὶ ὑμέας ὁππόσα θέλγει,
90 πάντα παρ' ὑψιμέδοντος ἐμοῦ δέξησθε τοκῆος.
92 νῦν σκολιοῖς ἐπέεσσι παραβλήδην ἀγορεύω· 25
ἤδη δ' ἀγχιτέλεστος ἐλεύσεται ἔνθεος ὥρη,
ἀμφαδίην ὅτε πάντα θεοῦ παρὰ πατρὸς ἀκούσας
95 ἵξομαι ἀγγέλλων ἑτερότροπα λευκάδι φωνῇ
μύθων ὀρθὰ κέλευθα καὶ οὐκέτι δόχμιον ὀμφήν.
καὶ θεὸν αἰτήσοιτε πολύλλιτον ἥματι κείνῳ 26
εὐχωλαῖς ὁσίῃσι· καὶ οὐκέτι τοῦτον ἐνίψω

αἰτήσητε τὸν πατέρα *ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν *
24. ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν * αἰτεῖτε, καὶ λήμψεσθε, (ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη). 25. ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· *ἀλλ' ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς ἀπαγγελῶ ὑμῖν. 26. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ (ἐν τῷ ὀνόματί μου) αἰτήσεσθε, καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ

---

84. προτέρων V προτέρω cet. et edd. Hermann cens. 999 προτέρῳ probat, προτέρῳ Iuvenis. με om. Pa. προςπτύσσετε codd. et edd. ante Iuvenem, qui προςπτύξετε scripsit, quod probavit Ludwich Beitr. 116. 85. αἰτήσητε vulgo; ipse correxi. 87. δὲ om. V. 88. αἰτήσασθε Pa γέρ V τελέσσα V. 90. δέξεσθε Aldus. 91. Bordatus inseruit:

χάρμα ὅπως γλυκὺ ὑμέτερον τετελεσμένον εἴη.

92. σκολιῆς V. 93. λεύσεται Pa. 94. ὅττι V. 95. ἀγγέλων Pa. 96. ὀμφήν ad v. 97 scriptum est V. 97. αἰτήσοιτε V αἰτήσητε cet. et edd. πολλύλιτον PPa; corr. Bogardus. 98. ὁσίῃσι V ὁσίοισι cet. et edd.; vulgatam iam Hermann emendavit coniectura cens. 999.

ὡς πάρος ἠθάδα μῦθον· ἐμὸν ζώοντα τοκῆα
100 εἵνεκεν ὑμείων μειλίξομαι· ὑψιμέδων γὰρ 27
ἀντίτυπον πόθον ἁγνὸν ἐμοῖς φίλτροισι φυλάσσων
ὑμέας αὐτοκέλευστος ἐμὸς γενέτης ἀγαπάζει,
ὅττι θεοῦ λόγον υἷα σοφῷ καὶ ὁμόφρονι δεσμῷ
θέσκελον εἰς ἐμὲ φίλτρον ἐπιστώσασθε καὶ ὑμεῖς
105 ἤθεσιν ἀπλανέεσσιν· ἐπεφράσσασθε δὲ θυμῷ,
ὅττι φερεζώοιο θεοῦ παρὰ πατρὸς ἱκάνω.
ἦλθον ἐγὼ παρὰ πατρός, ἐφωμίλησα δὲ κόσμῳ, 28
καὶ πάλιν ἀμπλακίης ἐγκύμονα κόσμον ἐάσω,
καὶ ταχὺς ἵξομαι αὖτις ἐμῷ πέμψαντι τοκῆι.
110 καί οἱ πάντα μαθόντες ἐπεφθέγξαντο μαθηταί· 29
ἀμφαδὰ νῦν λαλέεις, οὐ φθέγγεαι ὄργια μύθων
λοξὰ παρατροπέων ἑτέρης ἐπιδευέα φωνῆς.
νῦν ἄρα, νῦν ἐδάημεν, ὅτι βροτέης ἀπὸ φωνῆς 30
— — — — — — — — — —
οὐ χατέεις, ἵνα τίς σε παραφθάσσας ἐρεείνῃ.

ὑμῶν· 27. αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ θεοῦ *πατρὸς ἐξῆλθον. 28. ἐξῆλθον ἐκ τοῦ πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον καὶ πορεύομαι πρὸς τὸν πατέρα. 29. λέγουσιν *αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· ἴδε νῦν ἐν παρρησίᾳ λαλεῖς καὶ παροιμίαν οὐδεμίαν λέγεις. 30. νῦν οἴδαμεν ὅτι οἶδας πάντα καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ·

---

99. ὥςπερ Pa. 100. ὑμείων ἕνεκεν Hermann cens. 991. 103. θεσμῷ ? 105. ἐπεφράσασθε VPa μύθῳ vulgo; corr.

115 οὗ χάριν ἀσφαλέως γινώσκομεν, ὅττι σὺ κόσμῳ
Χριστὸς ἐπουρανίοιο θεοῦ γόνος αὐτὸς ἱκάνεις.
Ἰησοῦς δ' ἀπάμειπτο προθεσπίζων τέλος ἔργων· 31
ἄρτι μεταστρεφθέντες ἐμῷ πιστεύετε μύθῳ·
ἐγγύθι δὲ χρόνος οὗτος, ὅτε σκίδνασθε φυγόντες 32
120 εἰς ἑὸν οἶκον ἕκαστος ἀπόσσυτος ἄλλος ἐπ' ἄλλῳ,
μοῦνον ἐμὲ προλιπόντες· ἐγὼ δ' ὅτε λαὸς ἱκάνει
δήιος, οὐ μόνος εἰμί, καὶ εἰ φεύγουσι μαθηταί·
ἀλλὰ μένων μετ' ἐμεῖο πατὴρ ἐμὸς οὔποτε λήγει.
ἀλλὰ τάδε ξύμπαντα διήιον, ὄφρα κεν αἰεὶ 33
125 εἰρήνην ἀτίνακτον ἐμοὶ σπεύσητε φυλάσσειν
εἰς χρόνον οὐ λήγοντα. πολυφλοίσβῳ δ' ἐνὶ κόσμῳ
θλιβόμενοι τρύχεσθε μεληδόσιν· ἀλλὰ καμόντες
θαρσαλέοι γίνεσθε, βροτῶν ὅτι μείζονα ῥέξω
κόσμον ἐγὼ νίκησα.

ἐν τούτῳ *γινώσκομεν ὅτι ἀπὸ θεοῦ ἐξῆλθες. 31. ἀπεκρίθη αὐτοῖς Ἰησοῦς· ἄρτι πιστεύετε· 32. ἰδοὺ ἔρχεται ὥρα καὶ ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια κἀμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστίν. 33. ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε. ἐν τῷ κόσμῳ θλῖψιν ἔχετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

---

118. ἄρ cet. desunt V μεταστρεφθέντ ἐμῷ V μεταστραφθέντες Pa. 120. ἀπ' ἄλλου vulgo; corr. Ludwich Beitr. 27 sq. cf. ad *N* 25. 123. λήγει λείπει PPa. 124. δήϊον PPa corr. Bogardus.

ΚΕΦ. Ρ.

Καὶ αὐτίκα τοῦτο βοήσας 1
εἰς πόλον ὄμμα τίταινεν, ἑῷ δ' ἰάχησε τοκῆι·
4 υἷα πάλιν κύδαινε τεόν, πάτερ, ὡς πόρες αὐτῷ 2
5 σαρκὸς ὅλης βροτέης πρυμνήσιον ἡνιοχεύειν·
βούλομαι εἰν ἑνὶ πάντας, ὅσους πάρος ὤπασας αὐτός,
ζωὴν θεσπεσίην αἰώνιον ἀμφιπολεύειν,
ὄφρα σε γινώσκωσι θεὸν μόνον ἐλπίδα κόσμου, 3
καὶ τεόν, ὃν προέηκας ἐπὶ χθόνα, Χριστὸν Ἰησοῦν.
10 αὐτὸς ἐγώ σε γέραιρον ἐπὶ χθονὸς ἔργον ἀνύσσας, 4
νεύμασιν ὑμετέροισι τό μοι πόρες, ὄφρα τελέσσω.
καὶ σύ με νῦν κύδαινε τεῇ, πάτερ, ἠθάδι τιμῇ, 5
ἣν παρά σοι πάρος εἶχον, ὅτε ζαθέῳ σέο μύθῳ

---

1. Ταῦτα ἐλάλησεν Ἰησοῦς, καὶ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν εἶπεν· πάτερ, * δόξασόν σου τὸν υἱόν, (ἵνα ὁ υἱός σου δοξάσῃ σέ), 2. καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ *ἔδωκας αὐτῷ, *δώσω αὐτοῖς ζωὴν αἰώνιον. 3. (αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή,) ἵνα γινώσκωσιν σὲ τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας *εἰς τοῦτον τὸν κόσμον Ἰησοῦν Χριστόν. 4. ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον τελειώσας, ὃ *ἔδωκάς μοι ἵνα ποιήσω· 5. καὶ νῦν δόξασόν με σὺ πάτερ παρά *σοι τῇ

οὔπω κτιζομένοιο θεμείλια πήγνυτο κόσμου.
15 οὔνομα σὸν κήρυξα [παρ' ἀνδράσιν, οὓς ἀπὸ
κόσμου 6
υἱέι σῷ παρέδωκας, ἀφεγγέος ὄμματι κόσμου·
ὑμέτεροι γεγάασι, σὺ δὲ σφέας ἡνιοχεύειν
δῶκας ἐμοί, καὶ πιστὸν ἐν ἀτρέπτῳ τινὶ θεσμῷ
μῦθον σεῖο φύλαξαν. ἐπεφράσσαντο δὲ θυμῷ, 7
20 ἐκ σέθεν ὡς πέλε πάντα, τά μοι πόρες· ὅττι περ
αὐτοῖς 8
μύθους σοὺς παρέδωκα βιαρκέας· ἀσπάσιοι δὲ
σὸν λόγον ἰθυντῆρα νόῳ δέξαντο καὶ αὐτοὶ
καὶ μάθον, ὡς παρὰ σεῖο προήλυθον, ὑμέτερον δὲ
μῦθον ἀσυλήτοισιν ἐπιστώσαντο μενοιναῖς,
25 ὅττι σύ με προέηκας ἐπὶ χθόνα. νῦν χάριν αὐτῶν 9
ἀπλανέων, οὐ παντὸς ἀλήμονος εἵνεκα κόσμου,
ὦ πάτερ, αἰτίζων σε διείρομαι, ἀμφὶ δὲ τούτων,

δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. 6. ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς ἔδωκάς μοι ἐκ τοῦ κόσμου. σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς ἔδωκας, καὶ τὸν λόγον σου τετήρηκαν· 7. νῦν ἔγνωκαν ὅτι πάντα ὅσα *ἔδωκάς μοι παρὰ σοῦ *ἐστίν, 8. ὅτι τὰ ῥήματά σου, ἃ ἔδωκάς μοι, δέδωκα αὐτοῖς, καὶ αὐτοὶ ἔλαβον, καὶ ἔγνωσαν (ἀληθῶς), ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας. 9. ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ

---

16. παρέδωκα in marg. man. alt. P γαίης Marcellus. 17. ἡνιοχεύεις vulgo; corr. Hermann cens. 999. 19. ἐπεφρήσαντο V ἐπεφράσαντο cet. et edd. corr. Iuvenis. μύθῳ vulgo; corr. Hermann cens. 999. 20. μ πόρες V αὐ οἷς V. 21. παρέδωκᾶς Pa. 22. ἰθυντῆρα νόου Marcellus. ipse correxi. 23. ὑμετερ cet. desunt V. 24. ἀκηλήτοισιν Marcellus.

οὓς πόρες υἱέι σεῖο· τεοὶ πέλον· ἀμφότερον δὲ, 10
ὅσσα φέρεις, ἐμὰ πάντα, καὶ ἔμπαλιν ὅσσα κομίζω,
30 πάντα σέθεν γεγάασιν· ἐγὼ δ' ἐνὶ τοῖσιν ἑταίροις
σύνδρομον εἰς χθόνα πᾶσαν ἔχω παλιναυξέα τιμήν.
κόσμῳ δ' οἱ μὲν ἔασιν, ἐγὼ δ' ἄρα γαῖαν ἐάσας 11
πρός σε, πάτερ, παλίνορσος ἐλεύσομαι· ἀλλὰ μαθητὰς
ἡμετέρους σὺ φύλαξον ὁμόφρονας ἔκτοθεν ἄτης
35 δαίμονος ἀντιπάλοιο προασπιστῆρας ἱμάσθλης.
ἁγνὲ πάτερ, σὺ φύλαξον ὁμόφρονας, ὄφρα καὶ αὐτοί,
πάντες ἓν ὄφρα πέλοιεν ὁμόζυγες οἷά περ ἡμεῖς.
ἀγχιφανὴς ὅτε τοῖσιν ὁμίλεον ἔνδοθι κόσμου, 12
39 αὐτὸς ὅλους ἐφύλασσον ἀπήμονας· οὐδέ τις αὐτῶν
41 ὤλετο δυσσεβίης σφαλερῷ δεδονημένος οἴστρῳ,
εἰ μὴ δαιμονίου φθισήνορος υἱὸς ὀλέθρου,
ὄφρα νόμου γραφικοῖο λόγος τετελεσμένος εἴη.

περὶ ὧν *ἔδωκάς μοι, ὅτι σοί εἰσιν, 10. καὶ τὰ ἐμὰ πάντα σά ἐστιν καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν αὐτοῖς. 11. καὶ αὐτοὶ ἐν τῷ κόσμῳ εἰσίν, κἀγὼ πρός σε ἔρχομαι. *καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ· πάτερ ἅγιε, τήρησον αὐτοὺς (ἐν τῷ ὀνόματί σου) * ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. 12. ὅτε ἤμην μετ' αὐτῶν *ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς (ἐν τῷ ὀνόματί σου) * (* ἐφύλαξα,) καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ.

νῦν δέ, πάτερ, μετὰ γαῖαν ὑπότροπος εἰς σὲ περήσω, 13
45 καὶ τάδε σφι ξύμπαντα διήιον, ὄφρα κεν αἰεὶ
ξυνὸν χάρμα φέροιεν ἐμοῖς τετελεσμένον ἔργοις.
καί σφισι θεῖον ὄπασσα τεὸν λόγον· ἀλλὰ μεγαίρων 14
αὐτοὺς ἔστυγε κόσμος, ὅτι ζαθέου γενετῆρος
γνήσιοι αἰθέρος εἰσί, νόθοι κόσμοιο πολῖται,
50 ὡς καὶ ἐγὼ κόσμοιο πέλω ξένος· οὐ βροτέης γὰρ
εἰμὶ τελεσσιγάμοιο γονῆς χθονός· οὔ τινι μύθῳ, 15
ὦ πάτερ, αἰτίζω σε, μετάτροπον ἐσμὸν ἑταίρων
ὄφρα μεταστήσειας ἀτέρμονος ἔκτοθι κόσμου,
ἀλλ' ἵνα μιν βλεφάροισιν ἀκοιμήτοισι φυλάξῃς
55 δαίμονος ἀρχεκάκοιο δυςαντήτων ἀπὸ δεσμῶν.
σοῖς ζαθέοις ἐπέεσσιν ἐμοὺς ἁγίαζε μαθητὰς 17
πάντας ἀληθείης νοεραῖς ἀκτῖσι καθαίρων·
ἀτρεκίη σέο μῦθος· ὁμοζυγέων δ' ὑπὲρ αὐτῶν 19

---

13. νῦν δὲ πρός σε ἔρχομαι, καὶ ταῦτα λαλῶ (ἐν τῷ κόσμῳ), ἵνα ἔχωσιν τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν ἑαυτοῖς. 14. ἐγὼ *ἔδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. 15. οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. *
17. ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ· ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστιν. (18. καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον·) 19. καὶ ὑπὲρ αὐτῶν

---

45. σοι vulgo; ipse correxi. τοῖς Marcellus. δήϊον Pa. 49. γνήσιος Pa. 50. κ ἐγὼ V πέλω ένος V. 51. καὶ τελεσιγάμοιο γῆς Pa βροτεή — γονὴ Marcellus. 52. αἴτι ω V. 53. ὄφ ταστήσειας V. ἀτέρμονος] ἀπηνέος dubitanter Marcellus. 55. θεσμῶν vulgo; corr. Koechly de par. 19.

αὐτὸν ἐμὲ πρώτιστον ἐμῶν ἑτάρων ἁγιάζω,
60 ὅφρα κε φαιδρύνοιντο τεῷ ζωαρκέι μύθῳ
καὶ καθαροὶ τελέθοιεν ἀληθείης ἁγιασμῷ
πνευματικῷ πυρὶ γυῖα λελουμένοι. οὐχ ὑπὲρ αὐτῶν 20
μούνων ὑμετέρην δέχομαι χάριν, ἀμφὶ δὲ πάντων,
ὅσσοι λύσσαν ἄπιστον ἀπορρίψαντες ἀήταις
65 ὀρθὴν πίστιν ἔχουσιν ἐμῶν διὰ μῦθον ἑταίρων,
πάντες ἓν ὄφρα πέλοιεν ὁμόζυγες, οἷά περ ἡμεῖς 21
74 σύζυγες ἓν μόνον ἐσμὲν ἐν ἀλλήλοισιν ἐόντες,
ὡς ἐν ἐμοὶ τελέθεις, καὶ ἐγώ, πάτερ, ἔν σοι ὑπάρχω,
σύζυγες ἀλλήλοισιν ἀρηρότες, ὄφρα καὶ αὐτοὶ
ἡμῖν πάντες ἔωσιν ὁμόζυγες ἐκγεγαῶτες,
70 κόσμος ἵνα γνοίη πολυμήχανος, ὅττι με κόσμῳ
ἀνδρομέης προέηκας ὅλης ῥυτῆρα γενέθλης.
καί σφισι κῦδος ὅπασσα, τό μοι πόρες, ὥς κεν ἐν ἡμῖν 22
73 πάντες ὁμοζυγέες τετελεσμένοι ὦσι, καὶ αὐτοὶ

ἁγιάζω ἐμαυτόν, ἵνα ὦσιν καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ. 20. οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ *πάντων τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ, 21. ἵνα πάντες ἓν ὦσιν, καθὼς σὺ πάτερ ἐν ἐμοὶ κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ὦσιν, ἵνα ὁ κόσμος πιστεύῃ ὅτι σύ με ἀπέστειλας. 22. κἀγὼ τὴν δόξαν ἣν *ἔδωκάς μοι *ἔδωκα αὐτοῖς,

75 ἡμῖν ὄφρα γένοιντο συνήλυδες ἐκγεγαῶτες·
ὄφρα σὺ μὲν τελέθεις ἐν ἐμοί, πάτερ, ὄφρα καὶ αὐτὸς 23
ξυνὸς ὅλοις ἑτάροισιν ἐγὼ πεφορημένος εἴην·
κόσμος ἵνα γνοίη βαρυκάρδιος ἴδμονι θυμῷ,
ὅττι σύ με προέηκας ἀρηγόνα μάρτυρι κόσμῳ,
80 ἀνδρομέου βιότοιο λυτήριον, ὅττι καὶ αὐτοὺς
ὡς τεὸν υἷα φίλησας, ἐμοὺς ἑτάρους ἀγαπάζεις.
βούλομαι, οὓς πόρες αὐτός ἐμοι, πάτερ, ὄφρα καὶ αὐτοί 24
ἦχι πέλω, μίμνωσιν, ἵνα βροτέῃσιν ὀπωπαῖς
84 πάντες ἐςαθρήσωσιν ἐμὴν ὑψίθρονον ἀρχήν.
87 ἀνδρομέοιο δίκαιε πάτερ, βιότοιο σαωτήρ· 25
οὔ σε, πάτερ, μάθε κόσμος· ἐγὼ δέ σε σύμφυτος ἔγνων.
καί σε σοφὸς χορὸς οὗτος ἐμῶν δεδάηκεν ἑταίρων

ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἕν, 23. *σὺ ἐν ἐμοί, κἀγὼ ἐν αὐτοῖς (ἵνα ὦσιν τετελειωμένοι εἰς ἕν) ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας καὶ ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας. 24. *πάτερ, *οὓς *ἔδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσιν μετ' ἐμοῦ, ἵνα θεωρῶσιν τὴν δόξαν τὴν ἐμήν (ἣν δέδωκάς μοι ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου), 25. *πάτερ δίκαιε, * ὁ κόσμος σε οὐκ ἔγνω· ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοί *σε ἔγνωσαν (ὅτι σύ με ἀπέστειλας),

---

76. τελέθεις V τελέθοις cet. et edd. 78. μύθῳ vulgo; corr. Hermann cens. 1000. 81. ἀγαπάζων vulgo; corr. Nansius. 82. οὓς πόρες αὐτὸς ἐμοὶ V (e coni. Bogardus) οὓς πόρες ἐμοὶ cet. codd. et edd. ante Bogardum; οὓς παρέδωκας Sylburg. 85. 86. Bordatus inseruit:

ἣν πόρες αὐτὸς ἐμοί, ὅτι με, πάτερ, ἀμφαγαπάζεις
πρὶν ζοφεροῦ κόσμου βαθύκολπα θέμεθλα γενέσθαι.

87. interpunctionem corr. Hermann cens. 1000.

90 ἤθεσιν εὐσεβέεσσιν, ὅτι σφίσιν ὄργια μύθων 26
ὑμετέρων ἀνέφηνα· καὶ ἔμπαλιν εἰςέτι δείξω,
ὄφρα σε γινώσκωσι πολὺ πλέον, ὥς κεν ἐν αὐτοῖς
θεσμὸς ἐμῆς ἀγάπης καὶ ἐγὼ πεφορημένος εἴην.

ΚΕΦ. Σ.

Ὡς φάμενος τάδε πάντα διέστιχεν ἔμφρονι
ταρσῷ 1
πέζαν ἐς ἀντιπέραιαν, ἐυπρήων ὅθι Κεδρὼν
οἴδματι λυσσήεντι κυλίνδεται, ὄμβρος ἀλήτης,
οἰδαίνων βαθὺ χεῦμα χαραδραίου ποταμοῖο·
5 ἀγχιφανὴς ὅθι κῆπος ἐύχλοος, ὃν παραμείβων
κοίρανος ἔνδον ἵκανεν ἐθήμονος οἷά τε βαίνων
φυταλιὴν εὔοδμον ἀειθαλέος παραδείσου.
καὶ θρασὺς ᾔδεε κεῖνο φυτηκόμον ἄλσος Ἰούδας, 2
Χριστὸς ὅτι σκιόεσσαν ἐρημάδα πέζαν ὁδεύων
10 πολλάκι χῶρον ἐκεῖνον ἐςήλυθε· κεῖθι καὶ αὐτῶν
σύννομος ἀγρομένων αὐλίζετο λαὸς ἑταίρων.

---

26. καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω, ἵνα ἡ ἀγάπη (ἣν ἠγάπησάς με) ἐν αὐτοῖς ᾖ κἀγὼ ἐν αὐτοῖς.

1. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθεν σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τοῦ *Κεδρών, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς (καὶ οἱ μαθηταὶ αὐτοῦ). 2. ᾔδει δὲ καὶ Ἰούδας (ὁ παραδιδοὺς αὐτὸν) τὸν τόπον, ὅτι πολλάκις συνήχθη

καὶ στρατὸν ἀσπιστῆρα δεδεγμένος ἀρχιερήων 3
καὶ πολὺν οἰστρήεντα παρ' ἀρχεκάκων Φαρισαίων
σύνδρομον ἄλλον ἔχων κορυνηφόρον ἐσμὸν ὁδίτην
ἤλυθεν ἀλλοπρόςαλλος ἐς ἠθάδα κῆπον Ἰούδας
τεύχεα καὶ λαμπτῆρας ἔχων· καὶ ὁμόστολος ἀνὴρ
χερσὶ πολυσπερέεσσι μετάρσιον ἄλλος ἐπ' ἄλλῳ
λύχνων ἐνδομύχων ἀνεμοσκεπὲς ἄγγος ἀείρων,
ἄγγος, ὅπερ δονάκεσσιν ἀμοιβαίοισι συνάπτων
πυκνὰ μεριζομένοισι γέρων κυκλώσασο τέκτων
ἀστερόεν μίμημα καὶ εἴκελον ὀξέι κόσμῳ·
μεσσοφανὴς ὅθι λύχνος ὁμοζυγέος διὰ κόλπου
ὀξὺ φάος πολυωπὸν ὑπὸ σκέπας ἔκτοθι πέμπων,
ἀκροφανὲς σελάγιζε πολυσχιδὲς ἁλλόμενον φῶς.
Ἰησοῦς δ' ἀδίδακτος ἰδὼν μέλλουσαν ἀνάγκην, 4
ἄτρομος, αὐτοκέλευστος ἀνέδραμε κῆπον ἐάσας·
καὶ στρατιὴν ἐρέεινε σακέσπαλον ὀξέι μύθῳ·
ποῖον ἀνιχνεύοντες ἱκάνετε φῶτα πιέζειν;
Ἰησοῦν δ' ἀπάμειπτο σιδηροφόρων στρατὸς ἀν-
δρῶν· 5

ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. 3. ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ τῶν Φαρισαίων ὑπηρέτας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων. 4. Ἰησοῦς οὖν *ἰδὼν πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν ἐξῆλθεν, καὶ λέγει αὐτοῖς· τίνα ζητεῖτε; 5. ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον. λέγει αὐτοῖς Ἰησοῦς· ἐγώ εἰμι. εἱστήκει

---

14. κορηνηφόρον Ma. 17. ἄρσιος ante lacuna V μετάρσιος cet. et. edd., quod correxit Tiedke I 47. 18. ἄλσος vulgo; corr. Tiedke I 47; ἕρκος Marcellus. 20. τέκνων P corr. Iuvenis. 21. ὀξεί] ἤνοπι Ludwich Beitr. 130. 22. ὁμηγυρίζων (!!) Marcellus. 24. σελάιζε V πολυσχεδὲς Pa. 26. ἐάσσας V. 27. ἠδέι Marcellus; refutavit Ludwich Beitr. 130 θυμῷ Pa.

30 *Ναζαρὲθ ναέτην διζήμεθα πάντες Ιησοῦν.*
— — — — — — — — — —
— — — — — — — — — —
καὶ θρασὺς ἀντιβίοισι παρίστατο πομπὸς Ἰούδας,
ὅς μιν ἀφαυροτάτοιο μινυνθαδίου χάριν ὄλβου
υἷα θεοῦ παρέδωκεν ἀτέρμονος ἐλπίδα κόσμου,
υἷα θεοῦ παρέδωκε. καὶ ὡς ἐφθέγξατο λαῷ 6
35 *ἁβροχίτων, ἀσίδηρος ἄναξ ῥηξήνορι φωνῇ·*
44 *Ναζαρὲθ ναέτης τελέθω Γαλιλαῖος Ἰησοῦς·*
πάντες ἐπ' ἀλλήλοισι μαχήμονες ἀσπιδιῶται
αὐτόματοι πίπτοντες ἐπεστόρνυντο κονίῃ
πρηνέες, οἰστρηθέντες ἀτευχέι λαίλαπι φωνῆς.
Ἰησοῦς δ' ἐρέεινε τὸ δεύτερον ἔμφρονι μύθῳ· 7
40 *ποῖον ὁμηγερέες μαστεύετε φῶτα πιέζειν;*
δυςμενέες δ' ἰάχησαν ἀμοιβαίῳ τινὶ μύθῳ·
Ναζαρὲθ ναέτην διζήμεθα Χριστὸν Ιησοῦν.
Ἰησοῦς δ' ἀγόρευεν ἀδειμάντῳ τινὶ φωνῇ· 8
45 *Ἰησοῦς Γαλιλαῖος ἐγὼ πέλον. εἰ δέ με μοῦνον*

δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. 6. *ὡς οὖν εἶπεν αὐτοῖς· ἐγώ εἰμι, ἀπῆλθαν εἰς τὰ ὀπίσω καὶ ἔπεσαν χαμαί.* 7. *πάλιν οὖν αὐτοὺς ἐπηρώτησεν· τίνα ζητεῖτε; οἱ δὲ εἶπον· Ἰησοῦν τὸν Ναζωραῖον.* 8. *ἀπεκρίθη Ἰησοῦς· (εἶπον ὑμῖν ὅτι) ἐγώ εἰμι· εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους*

---

30. *ἐνναέτην* Hermann cens. 992. cf. Ludwich Mus. Rhen. 35, 498 sq. lacunam ipse indicavi. 32. *μιν*] *μὲν* Marcellus. *ἔρνον* vulgo: corr. Tiedke I. 50*: *περὶ κέρδους* (!) Marcellus

ἤλθετε μαστεύοντες, ὑπότροπον οἴκαδε βαίνειν
τοῦτον ἐμῶν ἄψαυστον ἐάσατε λαὸν ἑταίρων,
ὄφρα κεν ἀστυφέλικτον ἔπος τετελεσμένον εἴη, 9
Χριστὸς ὅπερ πάρος εἶπεν ἑῷ ζώοντι τοκῆι·
50 τούτων οὐδὲν ὄλωλε, τά μοι πόρες. ἀγχιφανὴς δὲ 10
Σίμων ἆορ ἔχων θρασὺς ἔσπασεν· ἄνδρα δὲ νύξας
λάτριν ἀμαιμακέτοιο διάκτορον ἀρχιερῆος
δεξιὸν οὖας ἔταμνεν ἀοσσητῆρι σιδήρῳ.
καὶ ξίφεϊ πληγέντος ὀπάονος οὔνομα Μάλχου.
55 Ἰησοῦς δ' ἀνέκοψε φιλήτορι Πέτρον ἰωῇ· 11
λῆγε χόλου κολεῷ τε τίθει ξίφος· ἡμετέρου δὲ
οὐ πίομαι γενέταο φίλον δέπας ἡδέι θυμῷ,
αὐτὸς ὅπερ μοι ὄπασσε; φύλαξ δ' ἱεροῖο μελάθρου 12
χιλιάδος ζαθέης στρατιῆς πρόμος, ἀλλὰ καὶ αὐτὸς
60 σὺν προμάχῳ δασπλῆτι φερεσσακέων στρατὸς ἀνδρῶν
Χριστὸν ἐπισφίγξαντες ἀμεμφέα νηλέι δεσμῷ

ὑπάγειν. 9. ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν, ὅτι οὓς *ἔδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. 10. Σίμων οὖν Πέτρος ἔχων μάχαιραν εἵλκυσεν αὐτὴν καὶ ἔπαισεν τὸν τοῦ ἀρχιερέως δοῦλον καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος. 11. εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· βάλε τὴν μάχαιραν εἰς τὴν θήκην. τὸ ποτήριον ὃ *ἔδωκέν μοι ὁ πατήρ *μου οὐ μὴ πίω αὐτό; 12. ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον

---

47. ἐάσσα ε V. 49. ἐὼν PPa; corr. Iuvenis. 50. ὄλωλε γρ. καὶ codd. ὄλωλα edd. ante Iuvenem. 54. ἀξίφεϊ P ἀξίφει Pa. 55. δ' om. MaPPa; primus recepit Iuvenis. 60. φερεσακέων Pa.

ἑσπερίην ἀβόητον ἐποιήσαντο πορείην
Ἄννα Χριστὸν ἄγοντες ἐς οἰκίον ἀρχιερῆος. 13
Καϊάφα γὰρ ἔην ἑκυρὸς θρασύς, ὃς πέλε κείνου
ἀρχιερεὺς λυκάβαντος, ὃς Ἑβραίῳ ποτὲ λαῷ 14
ζῆλον ἔχων Χριστοῖο θεημάχον ἴαχε φωνήν·
καλὸν ὑπὲρ λαοῖο θανεῖν ἕνα, μὴ φθόνος ἕρπων
Ἑβραίων ὅλον ἔθνος ἑνὸς χάριν ἀνδρὸς ὀλέσσῃ.
Ἰησοῦν δὲ φέροντες ἐπέρρεον ἀσπιδιῶται·
καί οἱ ὀπισθοκέλευθος ὁμάρτεε τηλόθι Σίμων 15
καὶ νέος ἄλλος ἑταῖρος, ὃς ἰχθυβόλου παρὰ τέχνης
γνωτὸς ἐὼν ἀρίδηλος ἐθήμονος ἀρχιερῆος
Χριστῷ σύνδρομος ἦλθεν ἔσω θεοδέγμονος αὐλῆς.
καὶ βραδὺς αὐτόθι Πέτρος ἐλείπετο νόσφι θυράων. 16
Χριστοῦ δ' ἄλλος ἑταῖρος ὑπωρόφιον γόνυ πάλλων
ἄνθορεν ἐκ μεγάροιο καὶ ἀμφιπόλῳ πυλαωρῷ

τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτὸν 13. καὶ ἤγαγον *αὐτὸν πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. 14. ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν ὑπὲρ τοῦ λαοῦ *καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. 15. ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος καὶ ἄλλος μαθητής· ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ καὶ συνεισῆλθεν τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν * 16. ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος, (ὁ γνωστὸς τοῦ ἀρχιερέως) καὶ εἶπεν τῇ θυρωρῷ καὶ εἰσήγαγεν τὸν Πέτρον.

εἶπε καὶ ἤγαγε Πέτρον ἔσω πολυχανδέος αὐλῆς
χειρὸς ἔχων. καὶ δμωὶς ἐπεςβόλος ὄμματι λοξῷ 17
δερκομένη πυλαωρὸς ἀνίαχε γείτονι Πέτρῳ
80 τοῖον ἔπος· μὴ καὶ σὺ πέλεις Χριστοῖο μαθητής;
Σίμων δ' ἀντιάχησε φόβου σημάντορι φωνῇ·
ὦ γύναι, οὐ Χριστοῖο συνέμπορός εἰμι μαθητής.
συμμιγέες δ' ἵσταντο διάκτοροι ἀρχιερῆος 18
θῆτες ὁμοῦ καὶ δμῶες· ἐθερμαίνοντο δὲ κύκλῳ
85 ἀνθρακιὴν στορέσαντες. ὑπὸ σπινθῆρι δὲ λεπτῷ
πυρσὸν ἄκαπνον ἔχουσα μαραίνετο φειδομένη φλόξ.
νὺξ γὰρ ἔην σκοτίη, δυςπέμφελος· ἑσπέριοι δὲ
γαῖαν ἐπιψύχοντες ἀνερρίπιζον ἀῆται·
δμῶες ὅθεν θάλποντο φίλῳ πυρί. καὶ μέσος αὐτῶν
90 ἄψοφος ἵστατο Πέτρος ἔχων ἄγνωστον ὀπωπήν.
Ἰησοῦν δ' ἐρέεινε θυηπόλος ὀξέι μύθῳ 19
Ἄννας εὐρυγένειος ἐθήμονι χειρὸς ἐρωῇ
ἄπλοκον ἀμφαφόων κεχαλασμένον ὁλκὸν ὑπήνης
ἀμφὶ σοφῶν ἑτάρων, οὓς κοίρανος εἶχε μαθητάς,

---

17. λέγει οὖν τῷ Πέτρῳ ἡ παιδίσκη ἡ θυρωρός· μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; λέγει ἐκεῖνος· οὐκ εἰμί. 18. εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, *καὶ ἐθερμαίνοντο, ὅτι ψῦχος ἦν· ἦν δὲ καὶ ὁ Πέτρος μετ' αὐτῶν ἑστὼς καὶ θερμαινόμενος. 19. ὁ οὖν ἀρχιερεὺς ἠρώτησεν τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ

---

78. ἑλὼν Hermann cens. 1001 δμωὶ σεπεσβόλος V. 80. καὶ om. Pa πέλει Iuvenis. cf. Ludwich Mus. Rhen. 35, 505. 86. ἄκαπνον codd. ἄναπτον edd. 92. χερὸς Pa. 93. ἄπρον vulgo; corr. Ludwich Beitr. 131. 94. ὑπηνησοφῶν Pa.

95 καὶ διδαχῆς ὁσίης. βριαρῷ δ' ἀντίαχε μύθῳ 20
Ἰησοῦς ἀδόνητος· ἐγὼ φιλοπευθέι κόσμῳ
ἀμφαδίην ὀάριζον ἐν εὐαγέεσσι μελάθροις,
αὐταῖς ἐν τριόδοισι θεοκλήτῳ τ' ἐνὶ νηῷ,
ᾗχι πολυσπερέων αὐλίζεται ἔθνεα λαῶν,
00 οὐδὲν ὑποκρυφίῳ λαλέων ληίστορι μύθῳ
δειμαλέῳ· τί με ταῦτα διείρεαι; ἠνίδε κύκλῳ 21
οὗτοι πάντες ἔασιν ἐμῆς ἐπιμάρτυρες αὐδῆς·
πάντες ἐμῶν δεδάασι νοήματα ποικίλα μύθων,
ὅσσα παρ' Ἑβραίοις ἐφάμην θεοπειθέι λαῷ.
05 ταῦτα δέ οἱ λαλέοντι διάκτορος ἄγριος ἀνὴρ 22
06 τολμηρῇ παλάμῃ ζαθέην ἐπάταξε παρειήν.
08 Ἰησοῦς δ' ἀγόρευε τανύτριχα λάτριν ἐλέγχων· 23
εἰ θρασὺς ὡμίλησα κακῶς ἀεσίφρονι θυμῷ
10 μάρτυρος ἔσσο κακοῖο τεῇ νεμεσήμονι φωνῇ·
εἰ δὲ καλῶς κατέλεξα, τί με πληγῇσι δαμάζεις;

περὶ τῆς διδαχῆς αὐτοῦ. 20. ἀπεκρίθη αὐτῷ Ἰησοῦς· ἐγὼ παρρησίᾳ λελάληκα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδίδαξα ἐν συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντες οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν· 21. τί με ἐρωτᾷς; ἐρώτησον τοὺς ἀκηκοότας, τί ἐλάλησα αὐτοῖς· ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ. 22. ταῦτα δὲ αὐτοῦ εἰπόντος εἷς παρεστηκὼς τῶν ὑπηρετῶν ἔδωκεν ῥάπισμα τῷ Ἰησοῦ, (εἰπών· οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ;) 23. ἀπεκρίθη αὐτῷ Ἰησοῦς· εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;

---

100. om. V. ὑποκρύφιον νηίστορι: corr. Tiedke Herm. XIII 270.

Ἄννας μὲν φονίης πεφορημένον εἰς λίνον ἄγρης 24
χεῖρας ὀπισθοτόνους πεπεδημένον ἄζυγι δεσμῷ
Ἰησοῦν προέηκεν ἑῷ λυσσώδεϊ γαμβρῷ,
115 ἀρχιερεὺς ἑτέρῳ πεφυλαγμένον ἀρχιερῆι.
Σίμων δ' ἐσχαρεῶνι παριστάμενος καὶ ἀλύων 25
ψυχρὸν ἐπ' ἀνθρακόεντι δέμας θερμαίνετο πυρσῷ,
θαλπόμενον δ' ἐρέεινον ὀπάονες ἀρχιερῆος
ἀλλοφανῆ Σίμωνα νεήλυδα· μὴ σὺ καὶ αὐτὸς
120 ἐξ ἑτάρων Χριστοῖο πέλεις; καὶ ἀμοιβάδι φωνῇ
δμώων πευθομένων ἠρνήσατο Πέτρος ἀκούων·
οὐ Χριστοῦ γενόμην, ἐνέπων ψευδήμονι μύθῳ.
καὶ θεράπων ἱερῆος ἀμείβετο Πέτρον ἐλέγχων 26
νυκτιπόλου θεράποντος ὁμόγνιος, οὗ ποτε Σίμων
125 δεξιὸν οὖας ἔταμνε παρήορον ἄορι νύξας·
οὐ σὺ πέλεις Χριστοῖο διάκτορος; οὔ σε μετ'
αὐτοῦ

---

24. ἀπέστειλεν οὖν αὐτὸν ὁ Ἄννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα. 25. ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμενος. εἶπον οὖν αὐτῷ· μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; ἠρνήσατο ἐκεῖνος καὶ εἶπεν· οὐκ εἰμί. 26. λέγει *οὖν εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψεν Πέτρος τὸ ὠτίον· οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ;

---

112. πεφυλαγμένον vulgo; corr. Tiedke I 49. ἑς vulgo; corr. Ludwich Mus. Rhen. 499. 113. ὀπισθοτόνῳ vulgo. πεπεδηότα V πεπεδηκότα cet. et edd. δίζυγι vulgo. totum locum dedimus ex emendatione, quam protulit Tiedke I 51. Rigler l. c. VI 12 versum sic scribendum esse putavit:

χεῖρας ὀπισθοτόνῳ πεπεδημένον ἀκλέι δεσμῷ.

115. ἑτάρῳ vulgo, corr. Marcellus; postea Tiedke I 49. πεφορημένον vulgo; corr. Tiedke I 51. 118. θαλπόμενοι Marcellus. 120. πέλες vulgo; corr. Ludwich Mus. Rhen. 35, 513. *122. Χριστοῖο* V.

εἶδον ἐγὼ δρυόεντος ὁμέστιον ἔνδοθι κήπου;
καὶ τριτάτη παλίνορσος ἐθήμονι Πέτρος ἰωῇ 27
Ἰησοῦν ἀπέειπε, καὶ ἔκραγεν εὐθὺς ἀλέκτωρ.
30 Καϊάφα δὲ μέλαθρα κατήγορος ἐσμὸς ἐάσας 28
εἰς δόμον αὐχήεντος ἐκώμασεν ἡγεμονῆος
32 Ἰησοῦν ἐθέλοντα φερέσβιον εἰς μόρον ἕλκων.
35 οὐδὲ μὲν ἔνδον ἔβαινε πολυφλοίσβοιο μελάθρου
ποσσὶ φυλασσομένοισιν, ὅπως μὴ γυῖα μιήνῃ,
πάσχα φαγεῖν ἐθέλων καθαρῷ χροΐ. τηλόθι δ' ἔστη
νήπιος, ἀγνώσσων, ὅτι τηλίκον εἰς φόνον ἕρπων
ἁγνὸν ἀλεξικάκων ἐφυλάσσετο δῶμα θεμίστων.
40 καὶ Πιλάτος ταχυεργὸς ἑῆς ἐξήλασεν αὐλῆς· 29
νηοπόλους δ' ἐρέεινεν ὀφειλομένῳ τινὶ θεσμῷ
μῦθον ἀπαιτίζων φονίης ἐπιμάρτυρα φωνῆς·
ποῖον ἔπος φθέγγεσθε κατήγορον ἀνέρι τούτῳ;
τίς πρόφασις θανάτοιο; τί τηλίκον ἤλιτεν ἀνήρ;
45 ποῖον ἔπος φθέγγεσθε κατήγορον ἀνδρὸς ὀλέθρου;

---

27. πάλιν οὖν ἠρνήσατο Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. 28. ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· (ἦν δὲ πρωΐ). καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν ἀλλὰ φάγωσιν τὸ πάσχα. 29. ἐξῆλθεν οὖν ὁ *Πιλάτος ἔξω πρὸς αὐτοὺς καὶ εἶπεν· τίνα κατηγορίαν

---

127. εἶδον ἐγὼ δενδρόεντος VPa εἶδον ἐγὼ δενδρώεντος MaP et edd. ante Iuvenem, qui ἐγὼ omisit. corr. Wernicke ad Tryph. 313, probavit Ludwich Beitr. 44. 130. ἐάσσας V. 133. 134. Bordatus inseruit:

τῆμος δ' ἀμβροσίης νυκτὸς σκοτόεσσαν ὀμίχλην

καὶ φθονεροῖς στομάτεσσιν ἀνίαχον ἀρχιερῆες· 30
εἰ μὴ ἔην τελέσας ἄφατον κακόν, οὐκ ἂν ἀνάγκῃ
εἵλκομεν εἰς σὲ φέροντες ἀναίτιον ἄνδρα δαμάσσαι
χειρὶ τεῇ παραδόντες. ὁ δὲ φθόνον ὀξὺ νοήσας 31
Χριστὸν ἀνακρίνειν ἀπεσείσατο μάρτυρι μύθῳ·
ὑμεῖς τοῦτον ἕλεσθε· θεμιστοπόλοιο δὲ βίβλου
κρίνατε πατρῴοισι νόμοις καὶ ἐθήμονι ποινῇ·
καὶ θρασὺς ἐσμὸς ἔειπε· κατακτείνειν τινὰ φωτῶν
ἡμῖν οὐ θέμις ἐστίν. ὅπως ἔπος ἔμπεδον εἴη, 32
Χριστὸς ὅπερ κατέλεξε προθεσπίζων, τίνι πότμῳ
μέλλε θανεῖν. Πιλάτος δὲ δολοπλόκον ἐσμὸν
ἐάσας 33
ἀγχίθυρον, παλίνορσος ἐδύσατο θέσμιον αὐλήν·
Ἰησοῦν δ' ἐκάλεσσε καὶ εἴρετο μάρτυρι μύθῳ·
αὐτὸς Ἰουδαίων βασιλεὺς πέλες; εἰρομένῳ δὲ 34
εἴκελος ἀγνώσσοντι θεηγόρος εἶπεν Ἰησοῦς,
εἴρετο γινώσκων ζαθέῃ φρενί· τοῦτο πιφαύσκεις

φέρετε τοῦ ἀνθρώπου τούτου; 30. ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ· εἰ μὴ ἦν οὗτος κακὸν ποιῶν, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. 31. εἶπεν οὖν αὐτοῖς ὁ *Πιλάτος· λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε. εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα. 32. ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπεν σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. 33. εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ *Πιλάτος καὶ ἐφώνησεν τὸν Ἰησοῦν καὶ εἶπεν αὐτῷ· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; 34. ἀπεκρίθη Ἰησοῦς· ἀπὸ σεαυτοῦ σὺ τοῦτο λέγεις, ἢ *ἄλλος σοι *εἶπεν περὶ ἐμοῦ;

---

149. φθόνου V φθόνοῦ Ma φθόνοῦ PPa. 156. ἐάσσας V. 157. ἐθύσατο Pa. 158. μύθῳ V φωνῇ cet. et edd. 161. πιφάσκεις V.

αὐτόματος σκηπτοῦχον Ἰουδαίων με καλέσσας,
ἠέ σοι ἄλλος ἔειπε; καὶ ἴαχεν ὄρχαμος ἀνήρ· 35
μὴ γὰρ Ἰουδαῖος καὶ ἐγὼ πέλον; ὑμέτερον δὲ
65 ἔθνος, ἵνα κρίνω σε, καὶ ἀνέρες ἀρχιερῆες
αὐτοὶ ἐμοὶ παρέδωκαν ἀναυδέες· εἰπὲ καὶ αὐτός,
ἔργον ποῖον ἔρεξας. ἄναξ δ' ἀντίαχε μύθῳ· 36
οὐ χθονίη τελέθει τις ἐμὴ βασιλήιος ἀρχή·
οὐ πέλον ἐκ κόσμου μινυώριος. ἡμετέρη γὰρ
70 εἰ πέλε κοιρανίη γαιήιος, εἰ πέλε κόσμου,
καί κεν ἐμοὶ δρηστῆρες ἐνόπλιον εἶχον ἀγῶνα,
ὄφρα μὴ Ἑβραίοις μεταχείριος ἔκδοτος εἴην·
νῦν δέ μοι οὐκ ἐντεῦθεν ἔην βασιλήιος ἀρχή.
καὶ Πιλάτος πάλιν εἶπεν ἀμοιβαίῃ τινὶ φωνῇ· 37
75 ἦ ῥά νυ κοίρανός ἐσσι; καὶ ἀντιάχησεν Ἰησοῦς·
καὶ γενόμην εἰς τοῦτο καὶ ἤλυθον, ὄφρα κεν αἰεὶ

---

35. ἀπεκρίθη ὁ *Πιλάτος· μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας;
36. ἀπεκρίθη Ἰησοῦς· ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου. εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν.
37. εἶπεν οὖν αὐτῷ ὁ *Πιλάτος· οὐκοῦν βασιλεὺς εἶ σύ; ἀπεκρίθη ὁ Ἰησοῦς· (σὺ λέγεις, ὅτι βασιλεύς εἰμι ἐγώ. [ἐγὼ]) εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ. πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει

μάρτυς ἐτητυμίης πανθελγέος ἀνδράσιν εἴην·
καὶ πᾶς, ὃς προβέβουλεν ἀληθείης ζυγὸν ἕλκειν,
γλώσσης ἡμετέρης ἀψευδέα μῦθον ἀκούει.
180 καὶ Πιλάτος θάμβησε καὶ ἔμπαλιν εἴρετο μύθῳ· 38
ἀτρεκίη τί πέλει; καὶ ἑὸν θρόνον ὀξὺς ἐάσας
δώματος ἐκτὸς ἔβαινε καὶ ἔννεπεν ἄφρονι λαῷ,
νηοπόλους δ' ἤλεγξεν· ἐγὼ πολυειδέι μύθῳ
κρίνας αἴτιον οὐδὲν ἐν ἀνέρι τῷδε δοκεύω·
185 οὐ πρόφασιν μίαν εὗρον ἐπήβολον. ἀρχέγονον δὲ 39
ὑμῖν πάτριόν ἐστιν ἐτήσιον, ὄφρα κεν ὑμῖν
ἐκ φυλακῆς καλέσας ἕνα δέσμιον ἀνέρα λύσω·
ἦ ῥα νύ μοι βούλεσθε, παλίλλυτον ὕμμιν ὀπάσσω
σφιγγόμενον δεσμοῖσιν Ἰουδαίων βασιλῆα;
190 Ἑβραῖοι δ' ἀλάλαξαν ἀπείρονα σύνθροον ἠχὼ 40
φθεγγόμενοι· μὴ τοῦτον, ὃν ἔννεπες, ἀλλὰ Βαρ-
αββᾶν —
ὃς πέλε ληιστὴρ θανατηφόρος —.

μου τῆς φωνῆς. 38. λέγει αὐτῷ ὁ *Πιλάτος· τί ἐστιν ἀλήθεια; καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθεν πρὸς τοὺς Ἰουδαίους, καὶ λέγει αὐτοῖς· ἐγὼ οὐδεμίαν εὑρίσκω ἐν αὐτῷ αἰτίαν. 39. ἔστιν δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ἀπολύσω ὑμῖν ἐν τῷ πάσχα· βούλεσθε οὖν, ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων; 40. ἐκραύγασαν οὖν * λέγοντες· μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν. ἦν δὲ ὁ Βαραββᾶς λῃστής.

---

178. ο προβέβουλε Pa. 181. ἐάσσας V. cf. Tiedke Herm. XIII 66. 183. ἐγξ ἑῷ in marg. P ἤλεξεν Pa ἑῷ — μύθῳ κρίνας· Stephanus. 188. παλίλυτον Pa ὑμῖν codd. et edd. ante Iuvenem. 191. Βαρανβάν V. 192. cf. Tiedke Herm. XIII 66.

ΚΕΦ. Τ.

Αἰνομανῆ δὲ 1
ὄρχαμος ἀφραδέων στομάτων ἀλαλητὸν ἀκούων
ληιστὴν ἀνίμαστον, ἀδέσμιον ὤπασε λαῷ
καὶ ῥοπάλοις ἀχάρακτον· ἀμοιβαίῃσι δὲ ῥιπαῖς
5 ῥιγεδανῇ Χριστοῖο δέμας φοίνιξεν ἱμάσθλῃ.
καὶ στρατὸς ἀντιβίων φιλοκέρτομος εἶχεν Ἰησοῦν· 2
ὀξυτόμου δὲ κόρυμβα περιπλέξαντες ἀκάνθης
στέμμα νόθον βασιλῆος ἐκυκλώσαντο καρήνῳ·
καί μιν ἀνεχλαίνωσαν ἐπὶ χροΐ πέπλα βαλόντες
10 Σιδονίης στίλβοντα σοφῷ σπινθῆρι θαλάσσης,
σύμβολα κοιρανίης καὶ ἐν ἄλγεσιν· ἀμφιπαγῆ δὲ 3
γούνατα δοχμώσαντες ἐπὶ χθονὸς αὐχένι κυρτῷ
[κοίρανον ἠσπάζοντο ἑῇ ψευδήμονι κλήσει,]
ἱκεσίης κήρυκι· καὶ ἤιεν ἄλλος ἐπ' ἄλλῳ
15 χερσὶν ἀμοιβαίῃσι παρηίδος ἄκρον ἀράσσων.

---

1. Τότε οὖν ἔλαβεν ὁ *Πιλάτος τὸν Ἰησοῦν καὶ ἐμαστίγωσεν, 2. καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν, 3. * καὶ ἔλεγον· χαῖρε ὁ βασιλεὺς τῶν Ἰου-

---

4. ῥαπαλοις V δὲ e corr. ex voce δὶ; in marg. δὲ Pa. 6. ἀντιβί φιλ κ ρτομος V. 8. κάρηνον V. 13. ἑῇ VMa ἐν PPa et edd. Boeardus ἐνὶ scripsit. Hermann Orph. 819 ab

καὶ Πιλάτος ταχύμητις ἀνέδραμε δώματος ἔξω 4
ποσσὶ παλιννόστοισι καὶ ἴαχεν ἄφρονι λαῷ·
ἔκτοθεν ἀνέρα τοῦτον ἐς ὑμέας ἄρτι κομίζω,
ὄφρα δὲ γινώσκητε· νοοπλανὲς οὐδὲν ἐν αὐτῷ
20 εὗρον ἐγὼ πραπίδεσσιν ἀμωμήτοισι δικάζων.
ἀχράντοις δὲ πόδεσσι διέστιχε νόσφι μελάθρου 5
καὶ στέφος ὀξυέθειρος ὁμόπλοκον εἶχεν ἀκάνθης
πορφυρέην τ' ἐσθῆτα διάβροχον αἵματι κόχλου·
καὶ Πιλάτος κατέλεξε πάλιν ζηλήμονι λαῷ·
25 ἠνίδε ποικιλόνωτος ἀναίτιος ἵσταται ἀνήρ.
καί μιν ἐσαθρήσαντες ἀθέσμιοι ἀρχιερῆες 6
καὶ βλοσυροὶ δρηστῆρες ἐπέβρεμον ἄπλετον ἠχώ·
σταυρῷ σύμπλοκος οὗτος, ἐπήορος, ὄρθιος ἔστω
καὶ ποσὶ καὶ παλάμῃσι σιδήρεα κέντρα κομίζων·
30 καὶ Πιλάτος λαοῖσιν ἐχέφρονα ῥήξατο φωνήν·
ὑμεῖς τετραπόρῳ σφηκώσατε τοῦτον ὀλέθρῳ·
οὐ γὰρ ἐγὼ θανάτου πρόφασιν μίαν εὗρον ἐν αὐτῷ.

δαίων, καὶ ἐδίδοσαν αὐτῷ ῥαπίσματα. 4. *καὶ ἐξῆλθεν πάλιν ὁ *Πιλάτος ἔξω καὶ λέγει αὐτοῖς· ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι αἰτίαν οὐχ εὑρίσκω *ἐν αὐτῷ. 5. ἐξῆλθεν οὖν (ὁ Ἰησοῦς) ἔξω, φορῶν τὸν ἀκάνθινον στέφανον καὶ τὸ πορφυροῦν ἱμάτιον. καὶ λέγει *ὁ Πιλάτος αὐτοῖς· ἰδοὺ ὁ ἄνθρωπος. 6. ὅτε οὖν ἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν· σταύρωσον, σταύρωσον *αὐτόν. λέγει αὐτοῖς ὁ *Πιλάτος· λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσατε· ἐγὼ

---

17. παλινόστοσϊ Pa ἴαχε idem. 19. γιγνώσκητε MaPPa et edd. corr. Passow. νοοπλανὲς MaPPa et edd. corr. Bordatus. cf. Hermann cens. 1001. 21. διέστειχε MaPPa et edd. corr. Bogardus. 22. ὀξυέθειρος V ὀξυέθειρον cet. et edd. 27. ἄπλετον V ἄσπετον cet. et edd. 31. ὑμεῖς δὲ Pa.

καὶ Πιλάτῳ φθέγξαντο μεμηνότες ἀρχιερῆες· 7
πάτριος Ἑβραίοις φέρεται νόμος, ὅν ποτε βίβλῳ
35 θεσμοθέται γράψαντο, καὶ οἷά τε θεσμὸς ἀνώγει
οὗτος ἀνὴρ ἤμελλε θανεῖν ποινήτορι πότμῳ
εἵνεκα δυςσεβίης, ὅτι θέσκελον αὐτὸς ἑαυτὸν
υἱὸν ἀειζώοιο θεοῦ κίκλησκε τοκῆος.
καὶ σοφὸς ὡς κλύε τοῦτο δικασπόλος ἔτρεμεν
ἀνήρ. 8
40 σπερχομένοις δὲ πόδεσσιν ἐδύσατο πανδόκον
αὐλήν· 9
Ἰησοῦν δ' ἐρέεινε τὸ δεύτερον ἠθάδι μύθῳ·
τίς τελέθεις; πόθεν ἐσσί; κατωπιόων δ' ἐπὶ γαίῃ
κοίρανος ὄμματα πῆξε καὶ οὐ Πιλάτῳ στόμα
λύσας
ἀντίδοτον μύθοισιν ἀμοιβαίην πόρε φωνήν.
45 καὶ Πιλάτος βαρύμηνιν ἀπερροίβδησεν ἰωήν· 10
οὔ με τεοῖς ἐπέεσσιν ἀμείβεαι; οὐδέ πω ἔγνως,

γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. 7. ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ὀφείλει ἀποθανεῖν, ὅτι υἱὸν θεοῦ ἑαυτὸν ἐποίησεν. 8. ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη, 9. καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον * καὶ λέγει τῷ Ἰησοῦ· πόθεν εἶ σύ; ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. 10. λέγει οὖν αὐτῷ ὁ *Πιλάτος· ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν

---

35. τε om. (lac.) V. 36. ἤμελλε V ὤφειλε cet. et edd.

ὅττι κεν εἰς σὲ φέρω δίδυμον κράτος; ἀμφότερον γάρ,
καὶ σταυρῷ δαμάσαιμι καί, ἢν ἐθέλω, σε μεθήσω.
καί οἱ Χριστὸς ἔλεξεν ἀγήνορα κόσμον ἐλέγχων· 11
 οὐδὲ μίαν μεθέπεις αὐτάγρετον εἰς ἐμὲ τιμήν,
εἰ μὴ ἄνωθεν ἔην κεχαρισμένον· οὗ χάριν ἀνήρ,
ὅς με λαβὼν παρέδωκεν, ἁμαρτάδα μείζονα πέσσει·
ἔνθεν ἐπικρίνων Πιλάτος μενέαινεν ἐᾶσαι 12
Ἰησοῦν ἀδίκαστον ἀνειμένον ἐκτὸς ὀλέθρου.
λαοὶ δ' ἀντιάχησαν ἀσιγήτου κλόνον ἠχοῦς
νηρίθμοις στομάτεσσιν· ἀπήμονα τοῦτον ἐάσας
Καίσαρος οὐ φίλος ἐσσὶ μονοσκήπτρου βασιλῆος·
πᾶς γὰρ ἑαυτὸν ἄνακτα λέγων ψευδήμονι μύθῳ
Καίσαρι Τιβερίῳ ψευδώνυμος οὗτος ἐρίζει.
καὶ Πιλάτος τρομεροῖσιν ἐν οὔασι μῦθον ἀκούων 13
ἔκτοθεν ὑψορόφων μεγάρων ἐκόμισσεν Ἰησοῦν·
ἀγχιδόμῳ δ' ἐκάθητο λιθοστρώτῳ παρὰ χώρῳ,

ἔχω ἀπολῦσαί σε καὶ ἐξουσίαν ἔχω σταυρῶσαί σε; 11. ἀπεκρίθη *αὐτῷ Ἰησοῦς· οὐκ ἔχεις ἐξουσίαν κατ' ἐμοῦ οὐδεμίαν, εἰ μὴ ἦν δεδομένον σοι ἄνωθεν. διὰ τοῦτο ὁ παραδούς μέ σοι μείζονα ἁμαρτίαν ἔχει. 12. ἐκ τούτου ὁ *Πιλάτος ἐζήτει ἀπολῦσαι *τὸν Ἰησοῦν· οἱ δὲ Ἰουδαῖοι ἐκραύγαζον λέγοντες· ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς *γὰρ ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει τῷ Καίσαρι. 13. ὁ οὖν *Πιλάτος ἀκούσας *τὸν λογον τοῦτον ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ βήματος εἰς τόπον λεγόμενον Λιθό-

---

47. κεν] καὶ Hermann cens. 1001. 49. οἱ] τότε Marcellus; refutavit Ludwich Beitr. 131. 49. κόμπον Iuvenis. 50. οὐδὲ μίαν VMa. 51. cf. Ludwich N. J. 1874, 454 et Tiedke Herm. XIII 66. 53. ἐάσσαι V. 55. ἤχου V. 56. ἐάσσας V. 61. ἐκόμισεν codd. et edd. ante Stephanum. 62. ἀρτιδόμῳ vulgo; corr. Marcellus.

οὔνομα τοῦτο φέροντι βοώμενον Ἑλλάδι φωνῇ,
οἷα λίθοις στρωτοῖσι τετυγμένῳ· ἐνδαπίῳ δὲ
65 Γαββαδὰ παφλάζοντι Σύρων κικλήσκετο μύθῳ.
ἕκτη δ', ἣν ἐνέπουσι, προσάββατος ἔτρεχεν ἠώς· 14
ἦν δὲ τιταινομένη τριτάτη θανατηφόρος ὥρη·
καὶ Πιλάτος θρασυεργὸς ἐπ' εὐλάιγγι θοώκῳ
Ἑβραίοις ἐβόησεν· ἴδε, σχεδὸν ἵσταται ἀνὴρ
70 κοίρανος ὑμείων βασιλήιον εἶμα κομίζων.
λαοὶ δ' ἀντιάχησαν ὁμοφθόγγων ἀπὸ λαιμῶν· 15
τοῦτον ἑλὼν σταύρωσον ἐλεγχίστῳ τινὶ πότμῳ·
ὄρθιος οὗτος ὅλοιτο σιδηροφόρων ἀπὸ γόμφων
δουρατέου θανάτοιο ταθεὶς τετράζυγι δεσμῷ.
75 καὶ Πιλάτος πάλιν εἶπεν ὅλῳ θηήτορι λαῷ·
δούρασι γομφοτόμοισιν ἐγὼ γομφωτὸν ἐάσας
κοίρανον ὑμείων ὀλέσω ποινήτορι πότμῳ;
καὶ δολίοις στομάτεσσιν ἀνέκραγον ἀρχιερῆες·
ἄλλον ἔχειν οὐκ ἴδμεν ἀήθεα κοίρανον ἡμεῖς,

στρωτον, Ἑβραϊστὶ δὲ Γαββαθᾶ. 14. ἦν δὲ παρασκευὴ τοῦ πάσχα. ὥρα *δὲ ἦν ὡς *τριτάτη. καὶ λέγει τοῖς Ἰουδαίοις· ἴδε ὁ βασιλεὺς ὑμῶν. 15. ἐκραύγασαν οὖν ἐκεῖνοι· ἆρον ἆρον, σταύρωσον αὐτόν. λέγει αὐτοῖς ὁ *Πιλάτος· τὸν βασιλέα ὑμῶν σταυρώσω; ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· οὐκ ἔχομεν

---

64. τετυγμένω V τετυμμένῳ cet. et edd. ante Bogardum. 65. βαγγαθᾶ V γαβαθὰ cet. et edd. Σύρῳ vulgo; ipse correxi. κικλήσκεται Pa. 66. ἦν V ἦν cet. et edd. ante Bogardum.

80 κοίρανον αὐτοκέλευστον, ὃν οὐκ ἐστέψατο Ῥώμη,
εἰ μὴ Καίσαρα μοῦνον, ἀτέρμονα ποιμένα κόσμου.
καὶ Πιλάτος λαοῖο βοὴν ἄσβεστον ἀκούων 16
Χριστὸν ἑκὼν ἀέκων ἀδίκῳ παρέδωκεν ὀλέθρῳ·
καὶ θανάτῳ χαίροντες ἀναιδέες ἀρχιερῆες
85 Ἰησοῦν ἐδέχοντο θελήμονες· ὠκύμοροι δὲ
ἀθανάτου Χριστοῖο βροτοὶ γεγάασι φονῆες
πάντες ὁμοῦ. καὶ σταυρὸν ἔχων ἑὸν αὐτὸς Ἰη-
σοῦς 17
εἰς μόρον ἀπτοίητος ἑκούσιον εἶχε πορείην,
εἰςόκε χῶρον ἵκανε φατιζομένοιο Κρανείου,
90 Ἀδὰμ πρωτογόνοιο φερώνυμον ἄντυγι κόρσης,
Γολγοθὰ τὸν καλέεσκε Σύρων στόμα· κεῖθι φο-
νῆες 18
εἰς δόρυ τετράπλευρον ἐπήορον ὑψόθι γαίης
ὄρθιον ἐξετάνυσσαν, ἐπισφίγξαντες ἀνάγκῃ
πεπταμένας ἑκάτερθε σιδηρείῳ τινὶ δεσμῷ
95 χεῖρας, ὁμοτρήτοισι πεπαρμένον ἄζυγι γόμφῳ
διπλόον ἕλκος ἔχοντα, μιῇ τετορημένον ὁρμῇ

βασιλέα εἰ μὴ Καίσαρα. 16. τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ. παρέλαβον οὖν τὸν Ἰησοῦν, 17. καὶ βαστάζων ἑαυτῷ τὸν σταυρὸν ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου τόπον, ὃς λέγεται Ἑβραϊστὶ *Γολγοθά, 18. ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν,

---

83. ἄκων Pa. 89. κρανείου V κρανίου cet. et edd.; quod Hermann cens. 995 voluit et Ludwich Beitr. 132, ab hoc refutata sunt N. J. 1874, 449. cf. quod dixi Quaest. Nonn. I 24. 94. κέντρῳ Marcellus. 95. ὁμοτρήτοιο πεπαρμένον V. χεῖρας· ὁμοτρήτῳ δὲ cet. codd. et edd.; ipse correxi et totum locum interpunxi. 96. ἧτορ vulgo; ἧστορ' Koch l. c. 194, quod *refutavit* Ludwich Beitr. 17. corr. Tiedke I 46 ἕνν Marcellus.

ποσσὶν ὁμοπλεκέεσσιν, ἀκαμπέα δεσμὸν ὀλέθρου.
κέντροις δ' ἀντιτύποισιν ἐπὶ σταυροῖο δεθέντας
νυκτιλόχους δύο φῶτας ἑνὶ ξύνωσαν ὀλέθρῳ
00 γείτονας ἀλλήλοισι, μέσον δ' ἔστησαν Ἰησοῦν.
καὶ Πιλάτος θηητὸν ἐπέγραφε μάρτυρι δέλτῳ 19
γράμμα, τόπερ καλέουσι Λατινίδι τίτλον ἰωῇ.
ἦν δὲ σοφῷ καλάμῳ τετυπωμένον· οὗτος Ἰησοῦς,
οὗτος Ἰουδαίων βασιλεὺς Γαλιλαῖος Ἰησοῦς.
05 καὶ πολὺς Ἑβραίων ἐπιδήμιος ἐσμὸς ἀνέγνω 20
τίτλον ἰδών, ὅτι χῶρος ἔην λόφος ἄστεϊ γείτων,
ὁππόθι μιν σταυροῖο συνεκλήισσαν ὀχῆι.
ἦν δὲ μιῆς παλάμης νοερῷ κεχαραγμένον ὁλκῷ
Αὐσονίῃ γλώσσῃ τε Σύρων καὶ Ἀχαΐδι φωνῇ.
10 καὶ Πιλάτον λιτάνευον ὁμήλυδες ἀρχιερῆες· 21
μὴ γράφε, μὴ γράφε τοῦτον Ἰουδαίων βασιλῆα,
ἀλλ' ὅτι κεῖνος ἔλεξεν ἑῇ ψευδήμονι φωνῇ·
κοίρανος Ἑβραίων τελέθω σκηπτοῦχος Ἰησοῦς.
καὶ Πιλάτος φάτο μῦθον ἀπηνέας ἄνδρας ἐλέγχων· 22

μέσον δὲ τὸν Ἰησοῦν. 19. ἔγραψεν δὲ καὶ τίτλον ὁ *Πιλάτος καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ· ἦν δὲ γεγραμμένον Ἰησοῦς ὁ Ναζωραῖος ὁ βασιλεὺς τῶν Ἰουδαίων. 20. τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως, ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστί, Ῥωμαϊστί, Ἑλληνιστί. 21. ἔλεγον οὖν τῷ *Πιλάτῳ οἱ ἀρχιερεῖς * · μὴ γράφε· ὁ βασιλεὺς τῶν Ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπεν· βασιλεύς εἰμι τῶν Ἰουδαίων. 22. ἀπε-

115 ἔγραφον ἀσφαλέως, τόπερ ἔγραφον. ὑψιφανῆ δὲ 23
Ἰησοῦν ἀτίνακτον ὑποδρηστῆρες ὀλέθρου
ἐκταδὸν ὀρθώσαντες ἐπὶ σταυροῖο δεθέντα,
θεσπεσίην ἐσθῆτα θεηγενέος βασιλῆος
ἱστάμενοι δάσσαντο καὶ αἰγλήεντα χιτῶνα,
120 ὅστις ὅλος καὶ ὕπερθεν ὁμοῦ καὶ ἔνερθε φορῆος
ἄρραφος ἦεν ὑφαντὸς ἀπ' αὐχένος εἰς σφυρὰ λήγων.
ἀλλήλοις δ' ὀάριζον ὁμοφθόγγῳ τινὶ μύθῳ· 24
οἶνοπα μὴ σχίζοιμεν ἀήθεα τόνδε χιτῶνα
θέσκελον, ἀμφιέποντα τύπον ξένον, ἀλλ' ὑπὲρ αὐτοῦ
125 δάκτυλα χειρὸς ἀφέντες ἑκηβόλα σύμβολα νίκης
λαχμῷ πάντες ἴδοιμεν ἀδηρίτῳ, τίνος ἔσται·
ὄφρα κε μῦθος ἐκεῖνος ἐτήτυμος ὄψιμος εἴη,
ὃν κιθάρῃ ψάλλουσα θεηγόρος ἔννεπε μολπή·
ἡμέτεροι δασπλῆτες ἐπ' ἀλλήλοισι φονῆες
130 ξυνοὶ ἀμιλλητῆρες ἐμοὺς δάσσαντο χιτῶνας
καὶ κλήρους ἐβάλοντο φιλοχλαίνῳ τινὶ λαχμῷ,

κρίθη ὁ *Πιλάτος· ὃ γέγραφα, γέγραφα. 23. οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα. ἦν δὲ ὁ χιτὼν *ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου· 24. εἶπον οὖν πρὸς ἀλλήλους· μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται. ἵνα ἡ γραφὴ πληρωθῇ· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν.

---

120. ὕπερθε καὶ V. 121. ἔην V. 123. οἴνωπα V ἀληθέα vulgo; ἀνητέα Marcellus. corr. Koch l. c. 194. 129. in marg. nota ε P. 131. καὶ ἐς Pa in marg. ε ν P.

ἡμετέρης ἐσθῆτος ἕως ἐγένοντο φορῆες.
καὶ τὰ μὲν ἔργα τέλεσσεν ἀθεσμοβίων στρατὸς ἀνδρῶν.
ἐγγύθι δὲ σταυροῖο συνήλυδες ἦσαν ἑταῖροι 25
135 καὶ Μαρίη, Χριστοῖο θεητόκος· οἷς ἅμα κείνη
σύγγονος ἦν Μαρίη καὶ ὁμώνυμος· ἦν δὲ καὶ αὐτὴ
Μαγδαλινὴ Μαρίη φιλοδάκρυος. ὡς δὲ τεκοῦσαν 26
Χριστὸς ἴδεν θεόπαιδα καί, ὃν φιλέεσκε μαθητήν,
μητέρι μῦθον ἔλεξε· γύναι φιλοπάρθενε μῆτερ,
140 ἠνίδε παρθένον υἷα. καὶ ἔμπαλιν εἶπε μαθητῇ· 27
ἠνίδε παρθενική, φιλοπάρθενε, σεῖο τεκοῦσα
νόσφι τόκου. κείνης δὲ μετὰ δρόμον εὔποδος ὥρης
παρθένον εὐώδινα συνέστιον ἔσχε μαθητὴς
ἔνδον ἑοῦ μεγάροιο· καὶ ἄσπορος ἔσκε τεκούσης
145 υἱός, ἀνὴρ ἀλόχευτος ἀπειρώδινος ἀνάσσης.
Ἰησοῦς δ' ἅμα πάντα παριππεύσαντα νοήσας, 28

---

25. εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, *Μαρία ἡ τοῦ Κλωπᾶ καὶ Μαρία ἡ *Μαγδαλινή. 26. Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ μητρί· γύναι, ἴδε ὁ υἱός σου. 27. εἶτα λέγει τῷ μαθητῇ· ἴδε ἡ μήτηρ σου. καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν αὐτὴν ὁ μαθητὴς εἰς τὰ ἴδια. 28. μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς [ὅτι ἤδη πάντα τετέλεσται, ἵνα

ὅττι θοῶς τετέλεστο, θοώτερον ἤθελεν εἶναι
τέρματος ἱσταμένοιο τὸ λείψανον· εἶπε δὲ λαῷ·
διψῶ. καὶ ἑτοῖμον ἔην παρὰ γείτονι χώρῳ 29
ὄξεος ἔμπλεον ἄγγος. ἀνὴρ δέ τις ὀξὺς ἀκούσας
σπόγγον ὑποβρυχίων ἀδύτων βλάστημα θαλάσσης
πλήσας δριμυτάτοιο ποτοῦ καὶ διψάδος ἅλμης
ἰθυπόρου καλάμου παρὰ νείατον ἄκρον ἐρείσας
ὤρεγεν ὑσσώπῳ κεκερασμένον ὄξος ὀλέθρου,
ἀντίδοτον βασιλῆι μελισταγέος νιφετοῖο
ἄρτου θεσπεσίοιο δι' ἠέρος ὑψόσε τείνων
ἄκρον ἀειρομένου καλάμου καὶ σπόγγον ἀλήτην.
ἀλλ' ὅτε πικρὸν ἔδεκτο ποτὸν καὶ δίψιον ἅλμην, 30
ἀγχιθανής· τετέλεστο, πανυστατίῳ φάτο μύθῳ
καὶ κεφαλὴν ἔκλινε, θελήμονι δ' εἴκαθε πότμῳ.
καὶ ζαμενεῖς ἱερῆες, ἐπεὶ περὶ δείελον ὥρην 31
ἔστιχε μηλοφάγοιο προάγγελον ἦμαρ ἑορτῆς,

τελειωθῇ ἡ γραφή,] λέγει· διψῶ. 29. σκεῦος *οὖν ἔκειτο ὄξους μεστόν· σπόγγον οὖν μεστὸν ὄξους ὑσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι. 30. ὅτε οὖν ἔλαβεν τὸ ὄξος, εἶπεν· τετέλεσται, καὶ κλίνας τὴν κεφαλὴν παρέδωκεν τὸ πνεῦμα. 31. οἱ οὖν Ἰουδαῖοι, ἐπεὶ παρασκευὴ ἦν, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ (ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ σαββάτου), ἠρώτησαν τὸν *Πιλάτον ἵνα κατεα-

---

147. initium ὅττι θο contectum est V. 149. ἕτοιμον V idem παρὰ νι V. 153 sq. ἄκρον ἔδησεν | ὤρεγε δ' Marcellus. refutavit Ludwich N. J. 1874, 449. 156. θεσπεσίοιο Pa. 159. τετέλεσται ἐν Hermann cens. 1001; refutavit Ludwich Beitr. 132 πανυστατίῳ primus Marcellus coniecit; postea Ludwich l. c. et Tiedke I 44. καὶ ὑστατίῳ (ὑτατίῳ V) vulgo. 160. cf. Ludwich Mus. Rhen. 35, 503. 161. περιδείελον codd. *corr. Iuvenis.*

εἰς δόμον αὐχήεντος ἐπέρρεον ἡγεμονῆος.
καὶ Πιλάτον λίσσοντο συνήλυδες, ὄφρα κεν αὐτῶν
Χριστοῦ θεσπεσίοιο καὶ ὀψιμόρων δύο φωτῶν
τρισσῶν πουλυόδοντι πόδες τέμνοιντο σιδήρῳ,
μὴ καὶ ἐπὶ σταυροῖο πεπηγότα σώματα μίμνῃ,
ἕβδομον ὁππότε φέγγος ἐλεύσεται. ἦν γὰρ ἐκείνη
πᾶσιν Ἰουδαίοισιν ἀθέσφατος ἔννομος ἠὼς
φέγγεος ἑβδομάτοιο, τόπερ δεδάασι γεραίρειν.
καὶ στρατὸς ἐγγὺς ἵκανε μιαιφόνος· ὑψιτενῆ δὲ 32
πρώτου μὲν διέτεμνεν ἀλοιητῆρι σιδήρῳ
μειλιχίου πόδα δισσόν· ἐπὶ σταυρῷ δὲ δεθέντος
ἄλλου νυκτιλόχου διδύμους πόδας ἄορι κόψας
δεύτερον ἐπρήνιξεν ἐπεσβόλον ὀξέι πότμῳ.
Ἰησοῦν δ' ὅτε νεκρὸν ἐσέδρακον, οἷα θανόντος 33
οὐ πόδας ἠλοίησαν ὁμόζυγας ἠθάδι χαλκῷ·
ἀλλὰ θορὼν ἀκίχητος ἀνὴρ ἀνεμώδεϊ λόγχῃ 34
πλευρὴν πασιμέλουσαν ἀφειδέι νύξε μαχαίρῃ·
καὶ διδύμαις λιβάδεσσιν ἀπὸ πλευροῖο τυπέντος
πρῶτα μὲν αἷμα χύθη, μετέπειτα δὲ θέσκελον ὕδωρ.

γῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν. 32. ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συνσταυρωθέντος αὐτῷ, 33. ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες ὡς εἶδον ἤδη αὐτὸν τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, 34. ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν,

---

163. ἐς vulgo; corr. Ludwich Mus. Rhen. 35, 499. 166. πολυόδοντι PPa corr. Bogardus. τρισσατίων κατάξοντι Marcellus

ἀνὴρ δ', ὅςτις ὄπωπεν, ἑῷ πιστώσατο μύθῳ 35
μαρτυρίην ἀτίνακτον· ἀριστονόοιο δὲ κείνου
ἴδμεν ὅτι ζαθέῃ καὶ ἐτήτυμος ἔπλετο φωνή.
185 ταῦτα δὲ πάντα πέλεσκεν, ὅπως ἔπος ἔμπεδον εἴη, 36
ὃ ζαθέῃ φόρμιγγι μελίπνοος ἔννεπε μολπή,
χρωτὸς ἀμωμήτοιο προάγγελος· οὐδὲν ἀπ' αὐτοῦ
κεκριμένων μελέων τετριμμένον ὀστέον ἔσται.
καὶ φέρεται λόγος ἄλλος, ὃν ἔννεπε θέσκελος
ἀνήρ· 37
190 ὄψονται πρὸς ἐκεῖνον, ὃν οὔτασαν, ὅςτις ὀπάσσει
ποινὴν ὀψιτέλεστον ἀμοιβάδα κέντορι λόγχῃ.
καὶ Πιλάτον μετέπειτα λαθὼν ἱκέτευεν Ἰωσήφ, 38
τάρβος Ἰουδαίων πεφυλαγμένος· ὅς ῥα καὶ αὐτὸς
ἀπροϊδὴς Χριστοῖο φιλήκοος ἔσκε μαθητὴς
195 ἐκ στόματος ζαθέοιο σοφὸν γάλα πιστὸν ἀμέλγων.
οὗτος ἰὼν ἱκέτευεν ὑπωρόφιον γόνυ κάμπτων

καὶ ἐξῆλθεν εὐθὺς αἷμα καὶ ὕδωρ. 35. καὶ ὁ ἑωρακὼς μεμαρτύρηκεν, καὶ ἀληθινὴ αὐτοῦ ἐστὶν ἡ μαρτυρία, κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, (ἵνα καὶ ὑμεῖς πιστεύητε). 36. ἐγένετο *δὲ ταῦτα ἵνα ἡ γραφὴ πληρωθῇ· ὀστοῦν οὐ συντριβήσεται *ἀπ' αὐτοῦ. 37. καὶ πάλιν ἑτέρα γραφὴ λέγει· ὄψονται εἰς ὃν ἐξεκέντησαν. 38. μετὰ δὲ ταῦτα ἠρώτησεν τὸν *Πιλάτον Ἰωσὴφ (ὁ ἀπὸ Ἀριμαθαίας) ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ *Πιλάτος. *ἦλθεν οὖν καὶ

---

183. δ' ἐκείνου V. 184. ζαθέῃ] στερεὴ Marcellus. 186. versum post T 41 posuit Marcellus. ζαθέϊ PPa; corr. Iuvenis. 189. γράφεται Marcellus. 190. cf. Tiedke Herm. XIV 420. 191. περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ κυριακοῦ in marg. P; eadem inscriptio h. v. sequitur V. 192. περὶ τοῦ Ἰωσήφ in marg. sin. Pa. 193. cf. Lehrs l. c. 269.

ὄρχαμον αἰτίζων νέκυν ἔνθεον. αὐτὰρ ὁ χαίρων
νεκρὸν ἀειζώοντα θεουδέι δῶκε φορῆι·
καὶ ποδὶ σιγαλέῳ νεκυοστόλος ἦλθεν Ἰωσήφ·
00 ἐγγύθι δὲ σταυροῖο πεπηγμένον ἄκρον ἐρύσσας
δίζυγα δεσμὸν ἔλυσεν ἀκαχμένον ὀξέι χαλκῷ
καὶ νέκυν ἑστηῶτα κατήγαγε δείελος ἀνήρ
φόρτον ἐλαφρίζων θεοδέγμονι κείμενον ὤμῳ.
ἦλθε δὲ καὶ Νικόδημος, ὃς ἤλυθε νυκτὸς ὁδίτης 39
05 εἰς μέγαρον Χριστοῖο φυλασσομένῳ ποδὶ βαίνων,
σμύρναν ἄγων θυόεσσαν, Ἐρυθραίοιο δὲ κόλπου
Ἰνδῴης ἀλόην δονακοτρεφὲς ἔρνος ἀρούρης,
λίτρας τὰς καλέουσι φατιζομένῳ τινὶ μέτρῳ
ἄχρι μιῆς ζαθέης ἑκατοντάδος· ὧν ἅμα καρπῷ 40
10 λεπταλέαις ὀθόνῃσιν ἐμιτρώσαντο θανόντος
σῶμα πολυπλέκτων ἑλίκων εὐώδεϊ δεσμῷ,
ὡς ἔθος Ἑβραίοις ἐπιτύμβια θεσμὰ φυλάσσειν.

---

*ἦρεν τὸ σῶμα αὐτοῦ· 39. ἦλθεν δὲ καὶ Νικόδημος ὁ ἐλθὼν πρὸς αὐτὸν νυκτὸς τὸ πρῶτον, φέρων μῖγμα σμύρνης καὶ ἀλόης ὡς λίτρας ἑκατόν. 40. ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς

---

198. ἀεὶ ζώοντα Ma. 200. ἐρύσσας V ἐρείσας cet. codd. et edd. ἀράσσας Marcellus; verum iam viderat Tiedke I 52. 201. δίζυγα δεσμὸν et ὀξέι χαλκῷ sed in marg. γρ. δίζυγα χαλκὸν et ὀξέι δεσμῷ PPa. cf. Ludwich Beitr. 115 et Tiedke I 25. Marcellus ὀξέι κέντρῳ. 205. εἰς V ἐς cet. et edd. cf. Ludwich Mus. Rhen. 35, 499. 206. κήπου vulgo; corr. Marcellus. 207. ἀλόης vulgo; corr. Marcellus.
208 sq. λιτρῶν ὡς καλέουσι φατιζόμενον τινὰ μέτρον
ἄχρι μιῆς μιγάδην ἑκατοντάδος . . . Marcellus.
209. καρπῷ V

ἦν δέ τις αὐτόθι κῆπος ἀερσιλόφῳ παρὰ χώρῳ, 41
Χριστὸν ὅπῃ σταυροῖο συνεκλήισσαν ὀχῆι
215 νηλὴς ἐχθρὸς ὅμιλος. ἔην δ ἐνὶ γείτονι κήπῳ
τύμβος ἀδωμήτοιο βαθυνομένης ἀπὸ πέτρης
γλυπτὸς ὅλος, νεότευκτος. ἐν εὐλάιγγι δὲ τύμβῳ
οὔπω νεκρὸς ἔκειτο χυτῆς ψαμάθοιο τυχήσας,
ἀλλὰ τάφου καθαροῖο φυτῶν ἐπικήπιος αὔρη
220 χῶρον ἀνερρίπιζεν, ὅπῃ ταλαεργὸς Ἰωσὴφ 42
Ἰησοῦν ἐκόμισσεν ἑῷ πεφορημένον ὤμῳ,
καὶ νέκυν οὐ μίμνοντα λιθώδεϊ θῆκε χαμεύνῃ,
νεκρὸν ἀειζώοντα, τριήμερον ἔνδοθι τύμβου,
σῆμα παρ' αὐτόρριζον, ἀμάρτυρον ἔργον ὑφαίνων,
225 ὅττι παρ' Ἑβραίοισι φυλασσομένης δρόμον ὥρης
γείτονα νύκτα φέρουσα προσάββατος ἔτρεχεν ἠώς·
καὶ πάλιν εἰς δόμον ἦλθε λαθὼν ἀκίχητος Ἰωσήφ.

ἔθος ἐστὶν τοῖς Ἰουδαίοις ἐνταφιάζειν. 41. Ἦν δὲ ἐν τῷ τόπῳ, ὅπου ἐσταυρώθη, κῆπος καὶ ἐν τῷ κήπῳ μνημεῖον καινόν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη· 42. ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν *αὐτόν.

---

213. τύμβος vulgo, corr. Marcellus. 214. συνεκλήϊσαν vulgo; corr. Passow. 216. ἀδομήτοιο V. 219. ἀλλὰ] ἔνθα Marcellus. 221. ἐκόμισεν V. 223. τριήμενον Pa. 226. παρασάββατος Pa. 227. εἰς V ἐς cet. et edd. cf. Ludwich Mus. Rhen. 35, 499.

ΚΕΦ. Υ.

Τῇ δὲ μιῇ φθαμένῃ μετὰ σάββατον ἠριγενείῃ 1
Μαγδαλινὴ Μαρίη φιλοδάκρυος ἐγγύθι τύμβου
πρώιον ἴχνος ἔκαμπτεν, ὅτε σκιοειδέι γαίῃ
νυκτιφανὴς ἀχάρακτος ἑῴιος ἤιεν ἀστήρ.
καὶ λίθον οὐδαίοιο μετοχλισθέντα θυρέτρου
ἄπλετον ἐν δαπέδῳ κεκυλισμένον, ἄχθος ἀρούρης,
καὶ τάφον ἔδρακε γυμνόν, ὅπῃ βαρύφορτος Ἰωσὴφ
Ἰησοῦν ὀλίγῃ ψαμαθώδεϊ θῆκε χαμεύνῃ.
κεῖθι γυνὴ νυχίη πόδας εὔνασεν· ἀμφὶ δὲ κόλπῳ
πενθαλέον μύρον εἶχεν· ἐρημαίης δὲ χαμεύνης
ἥψατο μαστεύουσα νέκυν φύξηλιν ἀλεῖψαι.
ἀλλά μιν οὐκ ἐκίχησεν· ἐπειγομένῳ δὲ πεδίλῳ 2
νόστιμος εἰς δόμον ἦλθε· κατωπιόωντι δὲ Πέτρῳ
ἀγγελίην ἑτέρῳ τε συνενδιάοντι μαθητῇ,
κοίρανος ὃν φιλέεσκε, μιῇ ξυνώσατο φωνῇ
ἀμφὶ τάφου κενεοῖο. καὶ ὡς ἔχε Πέτρος ἀκούσας, 3

1. Τῇ δὲ μιᾷ τῶν σαββάτων *Μαρία ἡ *Μαγδαλινὴ ἔρχεται *εἰς τὸ μνημεῖον πρωΐ σκοτίας ἔτι οὔσης, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. 2. τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς (ἦραν τὸν κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν, ποῦ ἔθηκαν αὐτόν). 3. ἐξῆλθεν

1. μετασάββατον V. 2. Μαγδαλίνη P φιλόδακρυς V.

ἔμπνοος οἰστρηθέντι ποδῶν διφήτορι ταρσῷ
ἄνθορεν ἐκ μεγάροιο· καὶ ὠμάρτησε μαθητὴς
ἄλλος ὁμῶς ἐπὶ σῆμα, καὶ εἰς δρόμον ἔτρεχον
ἄμφω. 4
καὶ φθάμενος Σίμωνα ποδήνεμος ἦλθε μαθητὴς
Πέτρου σπερχομένοιο θοώτερος. ἀγχιφανὴς δὲ 5
ἱστάμενος παρέκυψε καὶ ἔδρακεν ἔνδοθι τύμβου
ἀντωποῖς βλεφάροισι κενήριον ὀξὺ δοκεύων
κεκλιμένας ὀθόνας χιονώδεας ὑψόθι γαίης·
οὐ μὲν ἔσω διέβαινε, καὶ εἰ ταχὺς ἦλθεν ὁδεύων.
ἑσπομένοις δὲ πόδεσσιν ὀπίστερος ἵκετο Σίμων 6
καὶ ταχὺς ἔνδον ἵκανεν· ὑπὲρ δαπέδοιο δὲ γυμνοῦ
σύζυγας ἀλλήλοις λινέους ἐνόησε χιτῶνας
καὶ κεφαλῆς ζωστῆρα παλίλλυτον ἄμματι χαίτης, 7
σουδάριον τόπερ εἶπε Σύρων ἐπιδήμιος αὐδή,
οὐ ταφίαις ὀθόναις παρακείμενον, ἀμφιλαφῆ δὲ

οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητής, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον· 4. ἔτρεχον δὲ οἱ δύο ὁμοῦ. καὶ ὁ ἄλλος μαθητὴς προέδραμεν τάχιον τοῦ Πέτρου καὶ ἦλθεν πρῶτος (εἰς τὸ μνημεῖον), 5. καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια, οὐ μέντοι εἰσῆλθεν. 6. ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, 7. καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς

---

notis. 17. ἔμπνοος] εἴκελος Marcellus. δηφήτορι V. 18. ἄνθορε Pa. 19. ὅπως codd. et edd.; corr. Iuvenis. δρόμον] τάφον conieci Z. f. d. ö. G. 1878 p. 817. 20. σιμων ὀποδήνεμος Ma corr. ex σίμωνα; σίμων ἀποδήνεμος P et edd. ante Iuvenem. 22. ἔδρακεν VMa ἔδραμεν cet. et edd.; e coniectura ἔδρακεν scripsit Iuvenis. 26. ἑπόμενος V ἑσπόμενος cet. et edd.; corr. Nansius, probavit Hermann cens. 1001. 27. γυμνοῦ] τύμβου Marcellus. 29. παλλίλυτον Pa. αἵματι Pa.

μουναδὸν αὐτοέλικτον ὁμόπλοκον εἰν ἑνὶ χώρῳ.
ἦλθε καὶ ὁ πρώτιστος ἰὼν ἐπὶ σῆμα μαθητὴς 8
καὶ βραδὺς ἔνδον ἵκανε λιθογλυφέος κενεῶνος·
καὶ λίθον εὐδίνητον ἐοικότα χάσματι τύμβου,
ἀντίτυπον στήριγμα χαραδραίου πυλεῶνος,
καὶ πλοκάμων τελαμῶνα καὶ εἵματα κείμενα γαίῃ
ἔδρακε καὶ πίστευεν, ὅτι χθονίων ἀπὸ κόλπων
οὐρανίην ἐπὶ πέζαν ὑπηνέμιος νέκυς ἔπτη.
οὐ γάρ πω δεδάασι δύω Χριστοῖο μαθηταί, 9
ὅττι ταχὺς μετὰ πότμον ἀνόστιμον οὖδας ἐάσας,
εἰς τρία φάεα μοῦνον ἐγέρσιμον ὕπνον ἰαύων,
νόστιμος ἐκ νεκύων ἀναβήσεται εἰς πόλον ἄστρων
ἀκλινέος θανάτοιο παλίλλυτα δεσμὰ πατήσας.
πυκνὰ δὲ θαμβήσαντες ὀπιπευτῆρες ἑταῖροι 10
ἀσταθέες σφετέροισιν ἐναυλίζοντο μελάθροις,
ἄψοφα καλλείψαντες ἀπενθέος ἄντυγα τύμβου.
Μαγδαλινὴ δ' ἐλέλειπτο γυνὴ παρὰ σήματι μούνη, 11
θερμὸν ἀναβλύζουσα γοήμονος ὄμβρον ὀπωπῆς,
μυρομένη ζώοντα· δι' εὐφαέος δὲ θυρέτρου,

ἕνα τόπον. 8. τότε οὖν εἰσῆλθεν καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδεν καὶ ἐπίστευσεν· 9. οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφήν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. 10. ἀπῆλθον οὖν πάλιν πρὸς αὐτοὺς οἱ μαθηταί *θαυμάζοντες τὸ γεγονός· 11. *Μαρία δὲ εἱστήκει πρὸς τῷ μνημείῳ * κλαίουσα. ὡς οὖν ἔκλαιεν, παρ-

ὡς ἔτι δακρυχέεσκε λάλον νέκυν ἐγγὺς ἐόντα,
ἀγγελικὴν ἐνόησε συνωρίδα. τὸν μὲν ἐπ' ἄκρου 12
δεξιὸν ἀντικέλευθον ὑπὲρ Χριστοῖο καρήνου
μαρμαρυγὴν πέμποντα θεογλήνοιο προςώπου·
55 τὸν δὲ ποδῶν παρὰ πέζαν, ὅπῃ νέκυς ἦεν ἐχέφρων,
χιονέους σπινθῆρας ἀκοντίζοντα χιτῶνος.
ἀμφότεροι δ' ἐρέεινον ἔσω τύμβοιο γυναῖκα· 13
τίπτε, γύναι, στενάχεις; Μαρίη δ' ἠμείβετο μύθῳ·
ὡς τινὲς ἅρπαγες ἄνδρες ἐμὸν βασιλῆα λαθόντες
60 ἐννύχιοι σύλησαν. ἐγὼ δ' οὐκ οἶδα νοῆσαι,
ὁππόθι μιν μετέθηκαν. ὑποστρεφθεῖσα δὲ κείνη 14
Ἰησοῦν ἐνόησεν, ὃν ἔστενεν· ἱστάμενον δὲ
εἶδε καὶ οὐ γίνωσκεν, ὅτι ζαθέῳ παρὰ τύμβῳ
Χριστὸς ἔην. καὶ ξεῖνος ἀνὴρ ἅτε κῆπον ὁδεύων, 15
65 τίπτε, γύναι, στενάχεις; κινυρὴν ἐρέεινε γυναῖκα·
εἰπέ, τί μαστεύεις; Μαρίη δ' ἐφθέγξατο φωνὴν
ἐλπομένη κήποιο φυτηκόμον ἄνδρα νοῆσαι·

ἐκυψεν εἰς τὸ μνημεῖον, 12. καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. 13. *καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· γύναι, τί κλαίεις; λέγει αὐτοῖς· ὅτι ἦραν τὸν κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. 14. (ταῦτα εἰποῦσα) ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστίν. 15. λέγει αὐτῇ Ἰησοῦς· γύναι, τί κλαίεις; τίνα ζητεῖς; ἐκείνη δοκοῦσα ὅτι ὁ κηπουρός ἐστιν, λέγει αὐτῷ· (κύριε,) εἰ σὺ ἐβάστασας αὐτόν, εἰπέ μοι,

---

52. de ἐπ' dubitat Ludwich Beitr. 28. 55. ἦν PPa; corr. Bogardus. 58. τίνα V στενάζεις P; corr. Iuvenis. 60. ἐννύχιον ἐσύλησαν Pa. 61. δ' ἐκείνη vulgo; corr. Ludwich Mus. Rhen. 35, 502. 63. οὐ ἐγίνωσκεν V οὐ ex οὐκ Ma. 64. καὶ om. V (lacuna). 66. εἰπ μαστεύεις V.

εἰ σὺ νέκυν ζοφόεντος ἐκούφισας ἔκτοθι τύμβου,
ἔννεπε, πῇ μετέθηκας· ἐγὼ δέ μιν ἔνθεν ἀείρω.
70 Ἰησοῦς δ' ἀπάμειπτο χέων ἀρίδηλον ἰωὴν 16
καὶ Μαρίην ἰάχησε. μεταστρεφθεῖσα δὲ κείνη
ῥαββουνὶ κατέλεξε. θεὸς δ' ἀνέκοψε γυναῖκα 17
δεξιτερὴν μέλλουσαν ἐς ἄμβροτον εἶμα πελάσσαι.
καί οἱ μῦθον ἔλεξεν· ἐμῶν μὴ ψαῦε χιτώνων·
75 οὔπω γὰρ μετὰ πότμον ἐμῷ νόστησα τοκῆι·
ἀλλὰ κασιγνήτοισιν ἐμοῖς ἀγόρευε μαθηταῖς·
πρὸς γενέτην ἐμὸν εἶμι καὶ ὑμέτερον γενετῆρα
καὶ θεὸν ὑμείων καὶ ἐμὸν θεὸν αὖτις ἱκάνω.
καὶ Μαρίη πεπότητο καὶ ἕνδεκα μάρτυρι φωνῇ 18
80 πᾶσιν ὑπωροφίοισιν ἔπος ξύνωσε μαθηταῖς,
ὅττι μεταχθονίου γυμνούμενα γυῖα χιτῶνος
Χριστὸν ἴδε στίλβοντα θεοκμήτῳ τινὶ πέπλῳ,
καί οἱ ἔφη τάδε πάντα χέων ἀντώπιον αἴγλην.

ποῦ ἔθηκας αὐτόν, κἀγὼ αὐτὸν ἀρῶ. 16. λέγει αὐτῇ Ἰησοῦς· *Μαρία. στραφεῖσα ἐκείνη λέγει αὐτῷ· * ῥαββουνί [ὃ λέγεται διδάσκαλε]. 17. λέγει αὐτῇ Ἰησοῦς· μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα *μου· πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς· ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν καὶ θεόν μου καὶ θεὸν ὑμῶν. 18. ἔρχεται *Μαρία (ἡ *Μαγδαλινὴ) ἀγγέλλουσα τοῖς μαθηταῖς, ὅτι *ἑώρακεν τὸν κύριον καὶ ταῦτα εἶπεν

---

68. ἔνδοθι vulgo; corr. Iuvenis. 69. πῇ V πῇ Ma ποῦ cet. et edd. 70. 71. in marg. γρ. sine varia lectione P. 71. Μαρίὴν vulgo; corr. Wa[illegible]

καὶ σκιερὴν ὅτε γαῖαν ὅλην ἐμέλαινεν ὀμίχλη, 19
ἀκλινέες δὲ θύρετρα συνεκλήισσαν ὀχῆες,
ὁππόθι φωλεύοντες ἐναυλίζοντο μαθηταί,
ὡς πτερὸν ἠὲ νόημα μετάρσιος εἰς μέσον ἔστη
μιτρωθεὶς ἑτάροισι καὶ ἔννεππε· σύννομος ὑμῖν
εἰρήνη· καὶ ἄελπτον ἔπος βραχὺ τοῦτο βοήσας 20
δεῖξε πόδας καὶ χεῖρας ὁμηγερέεσσι μαθηταῖς
ἡλοτύπους πλευρήν τε νεούτατον· ὀψιφανῆ δὲ
κοίρανον ἀθρήσαντες ἐγήθεον αὖτις ἑταῖροι.
καί σφιν ἄναξ ἀγόρευε τὸ δεύτερον ὀξέι μύθῳ· 21
εἰρήνη πάλιν ὔμμι· καὶ ὡς τετράζυγι κόσμῳ
πέμψεν ἐμὸς γενέτης με, καὶ ὑμέας αὐτὸς ἰάλλω.
εἶπε καὶ ἀμβροσίων στομάτων φύσημα τιταίνων, 22
χεῖλος ἀναπτύξας βιοτήσιον, εἶπε μαθηταῖς·
ἁγνὸν πνεῦμα δέχεσθε, καὶ ὧν μερόπων ἐνὶ γαίῃ 23
δυσσεβίης ἀφέητε βιοπλανὲς ἄχθος ἀνάγκης,

αὐτῇ. 19. οὔσης οὖν ὀψίας (τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ σαββάτων), καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου *συνηγμένοι ἦσαν οἱ μαθηταί, (διὰ τὸν φόβον τῶν Ἰουδαίων,) ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν. 20. καὶ τοῦτο εἰπὼν ἔδειξεν καὶ τὰς χεῖρας *καὶ τοὺς πόδας καὶ τὴν πλευρὰν αὐτοῖς. ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν κύριον. 21. εἶπεν οὖν αὐτοῖς *ὁ Ἰησοῦς πάλιν· εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέν με ὁ πατήρ, κἀγὼ πέμπω ὑμᾶς. 22. καὶ τοῦτο εἰπὼν ἐνεφύσησεν, καὶ λέγει αὐτοῖς· λάβετε πνεῦμα ἅγιον. 23. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται αὐτοῖς· ἄν τινων

---

84. ἔμελεν Pa in marg. ·/· P. 85. θύρατρα P συνεκλήισαν vulgo; corr. Passow. 86. ὁπόθι Ma. 90. χεῖρας καὶ πόδας V ὁμηγερέεσσι VMa ὁμηγυρέεσσι cet. et edd.; corr. Passow; cf. Hermann cens. 1001. 94. ὕμμι VMa. 95. γεν καὶ ὑμ αὐτὸς V. 99. δυσσεβίην Iuvenis. ἀφίητε V.

00 ἀμπλακίης ἄμνηστος ἐπουρανίη λύσις ἔσται.
ὧν δὲ πάλιν κρατέοιτε βροτῶν ἀλιτήριον ἄτην,
ἔργα βίου σφαλεροῖο μένει πεπεδημένα δεσμῷ.
Θωμᾶς δ' ἐνδομύχων ἀπελείπετο μοῦνος ἑταίρων, 24
ἀγχιφανὴς ὅτε πᾶσι δι' ἠέρος ἦλθον Ἰησοῦς
05 κοίρανος ἠνεμόφοιτος ἀμάρτυρον οἶμον ἀμείβων.
καί οἱ ὀπιπευτῆρες ἐπεφθέγξαντο μαθηταί, 25
κοίρανον ὡς ἐνόησαν· ὁ δὲ θρασὺ χεῖλος ἀνοίξας
ἔννεπε μῦθον ἄπιστον, ἐπεὶ βραδυδινέι θυμῷ
μαρτυρίης ἄγναμπτον ἐδίζετο μείζονα πειθώ·
10 εἰ μὴ χεῖρας ἴδοιμι βαθυνόμενόν τε σιδήρῳ
πήξω δάκτυλον ἄκρον ἐς ὀξυτόρων τύπον ἥλων
καὶ παλάμην γλαφυροῖο κατὰ πλευροῖο πελάσσω,
οὔποτε πιστεύσοιμι. θεοφραδέες δὲ μαθηταὶ 26
ὀγδοάτης μετὰ φέγγος ἐπήλυδος ἠριγενείης
15 πάντες ἔσαν στοιχηδὸν ἔσω κρυφίοιο μελάθρου
φρικτὸν Ἰουδαίων πεφυλαγμένοι ὄγκον ἀπειλῆς·
ἀγρομένοις δ' ἅμα τοῖσι συνέστιος ἕζετο Θωμᾶς,

κρατῆτε, κεκράτηνται. 24. Θωμᾶς δὲ (εἷς ἐκ τῶν δώδεκα), * οὐκ ἦν μετ' αὐτῶν, ὅτε ἦλθεν Ἰησοῦς. 25. ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· ἑωράκαμεν τὸν κύριον. ὁ δὲ εἶπεν αὐτοῖς· ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων καὶ βάλω μου τὸν δάκτυλον εἰς τὸν τόπον τῶν ἥλων καὶ βάλω μου τὴν χεῖρα εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. 26. καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ * , καὶ Θωμᾶς μετ' αὐτῶν. ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμέ-

---

101. κρατέητε Pa. 108. μύθῳ vulgo; βραδυδηνέι μύθῳ Hermann cens. 1001; corr. Marcellus; postea

ὃν Δίδυμον καλέσαντο διώνυμον· ἀπροϊδὴς δὲ
Χριστὸς ἔσω μεγάροιο θορὼν ἀνεμώδεϊ ταρσῷ
ἄπτερος, ἀγχιθέων ἀνεφαίνετο μέσσος ἑταίρων·
καὶ τριτάτῃ παλίνορσος ἀνίαχεν ἠθάδι φωνῇ·
εἰρήνη πάλιν ὔμμι. καὶ εἰν ἑνὶ πάντας ἐάσας 27
Θωμᾶν ἀντικέλευθον ἀμείβετο μάρτυρι μύθῳ·
δός μοι δεῦρο, πέπον, σέο δάκτυλον, ὄφρα πελάσσω
μάρτυν ἀναμφήριστον ἐς ὀξυτόρων τύπον ἥλων.
καὶ παλάμας ἑκάτερθεν ἐμὰς ἴδε· δεξιτερῇ δὲ
πλευρῇ χεῖρα τάνυσσον ἐμῆς αὐτάγγελον οὐλῆς
καὶ τεὸν ἦθος ἄπιστον ἀναίνεο. πιστότερος δὲ
εἰς ἐμὲ διπλόον ἔσσο, καὶ εἰςορόων καὶ ἀφάσσων.
Θωμᾶς δ' ὑστερόμητις ἀμοιβάδα ῥήξατο φωνήν· 28
κοίρανος ἡμέτερος καὶ ἐμὸς θεός. εἶπε καὶ αὐτὸς 29
Ἰησοῦς Διδύμοιο νόον διχόμητιν ἐλέγχων·

νων, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν· εἰρήνη ὑμῖν. 27. εἶτα λέγει τῷ Θωμᾷ· φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος ἀλλὰ πιστός. 28. *καὶ ἀπεκρίθη Θωμᾶς καὶ εἶπεν αὐτῷ· ὁ κύριός μου καὶ ὁ θεός μου. 29. λέγει αὐτῷ ὁ Ἰησοῦς· ὅτι ἑώρακάς με, πεπίστευκας; μακά-

---

118. διώνυμος Marcellus. 119. θορῶν V ποδῶν Marcellus. 122. ὔμμι VMa ἐάσσας V. 123. μῦθον V. 125. μάρτυρ' vulgo; corr. Wernicke ad Tryph. 125. cf. Ludwich Beitr. 17. ἥλῶν Pa. 126. δεξιτερῇ codd. et edd. princ. δεξιτέρην Iuvenis. vulgatam defendit Sylburg in notis. 127. πλευρῆς vulgo; πλευρῇ dubitanter coniecit Sylburg in notis. 128. πιστότερος VMa πιστότερον cet. et edd. verum iam Sylburg in notis vidit. 129. διπλόος vulgo; corr. Hermann cens. 1001. alterum καὶ om. Pa. 131. cf. Tiedke Herm. XIII 270.

πείθεαι ἀθρήσας με καὶ ὄμμασι δέξαο πειθώ.
κεῖνοι μᾶλλον ἔασι μακάρτεροι, οἳ μὴ ἰδόντες
135 μείζονα πίστιν ἔχουσι καὶ οὐ χατέουσιν ὀπωπῆς.
ἄλλα δὲ θαύματα πολλὰ σοφῶν προπάροιθεν ἑταίρων
Ἰησοῦς ἐτέλεσσε πολύτροπα σήματα φαίνων,
μάρτυς ἀληθείης τάπερ ἄγραφα θέσπιδι βίβλῳ,
ὃς τάδε πάντα χάραξε, θελήμονι κάλλιπε σιγῇ.
140 ταῦτα δὲ πάντα πέλει τετυπωμένα μάρτυρι δέλτῳ, 31
ὄφρα κε πίστιν ἔχοιτε βιοσσόον, ὅττι τοκῆος
Χριστὸς ἀειζώοιο θεοῦ γόνος ἐστὶν Ἰησοῦς·
ὕμμι δὲ πειθομένοισιν ἐπουρανίης χάριν ἀρχῆς
ζωῆς θεσπεσίης αἰώνιός ἐστιν ἀμοιβή.

ριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. 30. πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν, ἃ οὐκ ἔστιν γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ· 31. ταῦτα δὲ γέγραπται, ἵνα πιστεύητε ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν *αἰώνιον ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

---

133. ἀθρήσασθέ V. 136. ἄλλα δὲ MaP ἀλλὰ δὲ Pa ἄλλα καὶ V καὶ primus Iuvenis. cf. Hermann cens. 991 et Tiedke I 33. 137. interpunctionem ipse correxi. 138. ἔγραφε vulgo; corr. Nansius; probavit Hermann cens. 1001. 143. ὕμμι VMa χάρις Iuvenis. 144. ἔστω sive ἔσται Marcellus.

ΚΕΦ. Φ.

Τὸ τρίτον ἄμβροτον εἶδος ἑοῖς ἀνέφηνε μα-
θηταῖς 1
Χριστὸς ἀσιγήτοιο πέρην Τιβερηίδος ἅλμης.
οὕτω δ' εἶδος ἔφηνεν. ἔσω κρυφίοιο μελάθρου 2
Πέτρος ἦην ὁ πρόσθε βοώμενος οὔνομα Σίμων
καὶ σοφὸς Ἀνδρείας, ὁμογάστριος ὃς πέλε Πέτρου,
καὶ τροχαλοὶ δύο παῖδες ἁλιτρεφέος Ζεβεδαίου
καὶ Θωμᾶς μετὰ τοῖσι διώνυμος. ἦν δὲ καὶ αὐτὸς
Ναθαναὴλ ἕτεροί τε δύω θεοπειθέες ἄνδρες.
καὶ σφιν ἀγειρομένοισι λινοπλόκος ἔννεπε Σίμων· 3
ἔρχομαι ἰχθυόεσσαν ἐς ἠθάδα πόντιον ἄγρην.
καί οἱ μῦθον ἔλεξαν ὁμήλυδες ἀσπαλιῆες·
σὺν σοὶ ἐς ἰχθυόεντα χυτῆς ἁλὸς ἔργα καὶ ἡμεῖς
ἱέμεθα ξύμπαντες ὁμήλυδες. ἐκ δὲ μελάθρου

---

1. Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν * Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσεν δὲ οὕτως. 2. ἦσαν ὁμοῦ Σίμων Πέτρος (καὶ Ἀνδρείας) καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας καὶ οἱ τοῦ Ζεβεδαίου καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. 3. λέγει αὐτοῖς Σίμων Πέτρος· ὑπάγω ἁλιεύειν. λέγουσιν αὐτῷ· ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. *καὶ ἐξῆλθον καὶ ἐνέβησαν εἰς τὸ πλοῖον, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν.

---

1. ανέφαινε V. 2. τιβερηίδος V τιβερήτιδος cet. et edd.; e coni. Passow τιβερηίδος. cf. Ludwich Beitr. 110. 8. ἑτάροι τε δύο V. 10. ἐς om. P Pa. primus habet Bogardus. ἠθάδε Pa in marg. π P. 12. σὺν σοὶ codd. cf. Hermann cens. 1002. 13. πάντες V Ma.

ἀμφιλαφεῖς ῥώοντο καὶ ἀγχιπόρου στόμα λίμνης
15 νηὸς ἐπεμβαίνοντες ἐπέπλεον. ἐννύχιον δὲ
οὐδὲν ἁλιτρύτῃσι δυνήσατο χερσὶ πιέζειν
ἐσμὸς ἅπας· καὶ πυκνὰ παλιμπετὲς ἄχνυτο Σίμων
χερσὶν ἐπ' ἀμφοτέρῃσιν ὑπηνέμιον λίνον ἕλκων.
καὶ ῥοδέαις ἀκτῖσιν ὅτε ζόφον ἔσχισεν ἠώς, 4
20 Χριστὸς ἐυκροκάλοισι παρ' ᾐόσιν ἵστατο πόντου
πρώιον ἴχνος ἄγων ἐπιδήμιον ἠθάδι λίμνῃ,
οἷα βορῆς χατέων ἁλιδινέος· οὐδὲ μαθηταὶ
δερκόμενοι γίνωσκον, ὅτι σχεδὸν ἦεν Ἰησοῦς.
ὑγροβίους δ' ἐρέεινεν ἐθήμονας ἰχθυβολῆας· 5
25 πλωτὰ τελεσσιγόνοιο κομίζετε δεῖπνα θαλάσσης,
παῖδες ἁλὸς δρηστῆρες; ἀμειβόμενοι δὲ μαθηταὶ
οὐδὲν ἔχειν ἀνένευον. ἄναξ δ' ἠμείβετο μύθῳ· 6
ἰχθυβόλῳ χαλάσαντες ἑκηβόλα δίκτυα πόντῳ
γείτονα φοιταλέης παρὰ δεξιὰ νηὸς ἑτοίμης

---

4. πρωΐας δὲ * γενομένης ἔστη Ἰησοῦς ἐπὶ τὸν αἰγιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστίν. 5. λέγει οὖν αὐτοῖς * · παιδία, μή τι προσφάγιον ἔχετε; ἀπεκρίθησαν αὐτῷ· οὔ. 6. ὁ δὲ εἶπεν αὐτοῖς· βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυον ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων.

---

14. ῥόοντο V ἀγχίπόρου Pa ἀμφὶς ἅλα ῥώοντο . . . κατὰ λίμνης Marcellus. 16. ἁλιτρύτοισι Passow, quod probavit

29ª — — — — ἄπλετον ἐσμὸν ἀλήτην.
30 καὶ λίνα κολπώσαντες ἐς ἀμφίβληστρα πεσόντα
πόντιον αὐτοκύλιστον ἀνείρυον ἐσμὸν ἀλήτην,
ἰχθύας ἐνδομύχους χαροπῆς βητάρμονας ἅλμης.
οὐκέτι δὲ σθένος εἶχον ὑποβρύχιον λίνον ἕλκειν
πληθύος ἐκ νεπόδων βυθίῳ πολυχανδέι κόλπῳ.
35 καὶ διερῷ Σίμωνι, βυθοῦ διφήτορι πόντου, 7
κοίρανος ὃν φιλέεσκε, συνέμπορος εἶπε μαθητής·
αὐτὸς ἄναξ πέλεν οὗτος· ὁ δὲ σχεδὸν ὀξὺς ὀρούσας
εἵματι μυδαλέῳ λαγόνας μιτρώσατο Σίμων
καὶ λινέῳ πεπύκαστο πολυτρήτῳ χρόα πέπλῳ
40 πόντιον ἀμφίβλημα περὶ γλουτοῖσιν ἑλίξας,
δέρμα, τόπερ διδύμων κεχαλασμένον εἰς πτύχα μηρῶν
ἰχθυβόλοι φορέουσιν ἀθηήτου σκέπας αἰδοῦς —

7. λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ· ὁ κύριός ἐστιν. Σίμων οὖν Πέτρος, ἀκούσας ὅτι ὁ κύριός ἐστιν, τὸν ἐπενδύτην διεζώσατο, ἦν γὰρ γυμνός, καὶ *ἥλατο εἰς τὴν

29ª. versus reliquias ex v. 31 restitui. 30. om. VMa spatio duorum versuum relicto. idem fuit in P, sed postea versus ita insertus est, ut spatium duorum versuum per utramque columnam expleret. ἐς om. Pa εἰς P et edd. ante Stephanum. 31. ἐσμὸν ἀλήτην] ἄπλετον ἐσμὸν V ἄσπετον ἐσμὸν Ma; ἄσπετον ἐσμὸν in marg. nota, qua in inferiorem marginem monstratur, ubi ἀλήτην adscriptum est P. ἄσπετον ἐσμὸν in marg. ἀλήτην Pa. 34. κόλπῳ om. VMa. φόρτῳ PPa et edd. ipse correxi. 35. βυθίου vulgo; corr. Hermann cens. 1002; βυθῷ (?) Wernicke in marg. βυθῶν Marcellus. δηφήτορα V. 37. ἐγγὺς vulgo; corr. Tiedke I 7*. 38. μυδαλέω V δαιδαλέῳ cet. codd. et edd. 39. πολυτρύτῳ sive πολυτλήτῳ Marcellus. 41. ἐς vulgo; corr. Ludwich Mus. Rhen. 35, 499. πτύχας VMaPPa et edd. ante Bogardum. μηρῶν om. V μήρῶν P.

γυμνὸν γὰρ δέμας εἶχεν ἐς ᾐόνα δίκτυον ἕλκων —
καὶ ταχὺς εἰς ῥόον ἆλτο καὶ ἠθάδα πόντον ἀμείβων
χεῖρας ἐρετμώσας, κεφαλὴν εἰς ὕψος ἀείρων,
ποσσὶν ἀμοιβαίοισιν ὀπίστερον ὤθεεν ὕδωρ·
ἀκτῆς δ' ἐγγὺς ἵκανε θεηδόχον ᾐόνα βαίνων,
Ἰησοῦς ὅθι μίμνε δεδεγμένος. οἱ δὲ δὴ ἄλλοι 8
εἰν ἑνὶ πάντες ἵκοντο μιῆς ἐπὶ νηὸς ἑταῖροι,
ἑσπόμενον σύροντες ἐν ὕδασι δίκτυον ἄγρης —
οὐ γὰρ ἔην περίμετρος ἁλὸς πλόος ἔκτοθι γαίης,
ἀλλὰ διηκοσίοις ἑνὶ πήχεσι κύματος ὁλκῷ
ἀφρὸν ἀνηκόντιζον ἐς ᾐόνα θυιάδες αὖραι,
γείτονος αἰγιαλοῖο περιρρανθέντος ἐέρσῃ.
καὶ χθονὸς ὡς ἐπέβησαν ἐπ' ᾐόνι διψάδος ἀκτῆς, 9
πυρκαϊὴν φλογόεντι μαραινομένην ἴδον ἀτμῷ·
ἀνθρακιῆς δ' ἐφύπερθεν ἐπ' ὀφρύσι κείμενον ἰχθύν,
ὄψον, καὶ νέον ἄρτον. ἄναξ δ' ἐκέλευε μαθηταῖς· 10
ἄξατε νῦν βυθίων νεπόδων ἑτερόχροον ἄγρην,
οὕστινας ἐκ λαγόνων ἐπιέσσατε φορβάδος ἅλμης.

θάλασσαν *καὶ ἦλθεν πρὸς τὸν Ἰησοῦν. 8. οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλὰ ὡς ἀπὸ πηχῶν διακοσίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων. 9. ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικείμενον καὶ ἄρτον. 10. λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων, ὧν ἐπιάσατε

καὶ διεροῖσι πόδεσσὶ θορὼν ἀνεβήσατο Σίμων 11
χερσὶν ὁμοσθενέεσσιν ἐπὶ χθόνα δίκτυον ἕλκων
ἔγκυον ἁλλομένων νεπόδων ἐπιβήτορι παλμῷ
μηκεδανῶν. καὶ νῶτα κεκυφότα τείρετο Σίμων
65 πόντοθεν ἰκμαλέης ἀγέλης ἑκατοντάδα σύρων,
οἷσιν ὁμοπλεκέεσσιν ἐπέτρεχον ἰχθύες ἄλλοι
σὺν τρισὶ πεντήκοντα. καὶ οὐ λίνον ἔνδοθι πόντου
σχίζετο τοσσατίων νεπόδων βεβαρημένον ὄγκῳ.
οὐ τότε τολμήσας τις ἀνὴρ ὁμόφοιτος ἑταίρων 12
70 ἀντωποῖς βλεφάροισι θεὸν παρεόντα δοκεύων,
τίς τελέθεις, ἐρέεινε, καὶ οὐ θρασὺς εἴρετο Σίμων
ἐγγύθι γινώσκων, ὅτι κοίρανος ἦεν Ἰησοῦς·
καί σφιν ἄναξ παρέθηκε φέρων περιμήκετον ἰχθύν, 13
ἰχθὺν καὶ νέον ἄρτον. ἑοῖς δ' ἐκέλευε μαθηταῖς·
75 δεῦτε, πάλιν δαίνυσθε μιῆς ὑπὸ κύκλα τραπέζης
ὀπταλέην ἀδόκητον ἐθήμονα δαῖτα θαλάσσης.
τοῦτο πάλιν τρίτον ἄλλο φαείνετο πᾶσι μαθηταῖς 14
Ἰησοῦς μετὰ θεῖον ἐγέρσιμον ὕπνον ὀλέθρου,

νῦν. 11. ἀνέβη Σίμων Πέτρος καὶ εἵλκυσεν τὸ δίκτυον εἰς τὴν γῆν μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν, καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον. 12. λέγει αὐτοῖς ὁ Ἰησοῦς· δεῦτε ἀριστήσατε. οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν· σὺ τίς εἶ; εἰδότες ὅτι ὁ κύριός ἐστιν. 13. ἔρχεται Ἰησοῦς καὶ λαμβάνει τὸν ἄρτον καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. 14. τοῦτο ἤδη τρίτον ἐφανερώθη Ἰησοῦς

---

61. ἀνεβήσετο vulgo; corr. Passow. 62—64. m_2 in marg. adscripti sunt V ὀπισθοτόνησιν Wernicke in marg. 64. κεκυφῶτα PPa et edd. ante Bogardum. 65. πόντοθεν P πάντοθεν cet. et edd. 68. ὀλκῷ vulgo; corr. Marcellus. 69—72. post 76 posuit Koechly de par. 23 et Marcellus. 71. ἐρεεῖνα V. 72. γίγνωσκεν Ma. 77. φαείνετο Ma φαείνεται V φαίνετο PPa; ἐφαίνετο Bogardus. cf. Hermann Orph. 819 et cens. 1002.

νόστιμος ἐκ νεκύων, χθονίους κευθμῶνας ἐάσας,
80 ἠθάδος ἰχθυβότοιο πέρην Τιβερηίδος ἅλμης·
εἰλαπίνης δ' ἔψαυσε· καὶ εἰν ἑνὶ πάντας ἐάσας 15
ἰχθυόεν μετὰ δεῖπνον ἀδαιτρεύτοιο τραπέζης
ἀγχιπόρῳ Σίμωνι θεηγόρον ἴαχε φωνήν·
Σίμων, γνήσιον ἔρνος Ἰωάνναο τοκῆος,
85 συμμιγέων ἐμὲ μᾶλλον ὅλων ἑτάρων ἀγαπάζεις;
καί οἱ Πέτρος ἔφη· ναὶ κοίρανε, καὶ σὺ δὲ θυμῷ
οἶδας, ὅσον φιλέω σε, καὶ οὐ μύθοιο χατίζεις.
καὶ ζαθέοις στομάτεσσιν ἄναξ ἐπετέλλετο Πέτρῳ·
βόσκε μοι ἔμφρονας ἄρνας ἀσιγήτους σέο ῥάβδῳ.
90 Ἰησοῦς δ' ἐρέεινεν ἀμοιβάδι Πέτρον ἰωῇ· 16
Σίμων, ἀγλαόπαιδος Ἰωάνναο γενέθλη,
μοῦνον ὁμοζυγέων φιλέεις ἐμὲ μᾶλλον ἑταίρων;
καὶ πετάσας βασιλῆι τὸ δεύτερον ἀνθερεῶνα
ἀνδρομέης ἀγέλης ἁλιεὺς ἐφθέγξατο Σίμων·
95 ναί, βασιλεῦ· σὺ δὲ μάρτυς ἐμῆς φρενὸς οἶσθα καὶ αὐτός,
ὅσσον ἐγὼ γλυκὺ φίλτρον ἀθέσφατον εἰς σὲ κομίζω.

τοῖς μαθηταῖς ἐγερθεὶς ἐκ νεκρῶν. 15. ὅτε οὖν *ἠρίστησεν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωάννου, ἀγαπᾷς με πλέον τούτων; λέγει αὐτῷ· ναὶ κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ· βόσκε τὰ ἀρνία μου. 16. λέγει αὐτῷ * δεύτερον· Σίμων Ἰωάννου, ἀγαπᾷς με; λέγει αὐτῷ· ναὶ κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ· ποίμαινε τὰ προβάτιά μου.

καὶ πινυτῷ παλίνορσος ἄναξ μυθήσατο Πέτρῳ·
ἡμετέρων ποίμαινε νοήμονα πώεα μήλων.
Ἰησοῦς δ' ἀγόρευε παλίσσυτον ἠθάδα φωνήν· 17
100 πατρὸς Ἰωάνναο θεουδέος ἔκγονε Σίμων,
ἀσφαλέως ποθέεις με πολὺ πλέον ἠέπερ ἄλλοι;
καὶ θρασὺς ἄχνυτο Πέτρος, ὅτι τρίτον εἶπεν Ἰησοῦς·
μᾶλλον ἐμῶν ἑτάρων με φιλοστόργων ἀγαπάζεις;
Ἰησοῦν δ' ἀπάμειπτο κατηφέι Πέτρος ἰωῇ·
105 πάντα σὺ γινώσκεις, ὅσα μήδομαι, ὄρχαμε κόσμου,
καὶ νοέεις ἀτίνακτον ἐμῆς φιλότητος ὀχῆα,
οἷον ἔχων φιλέω σε. θεὸς δ' ἀντίαχε μύθῳ·
οὐρανίῃ ποίμαινε καλαύροπι μῆλα καὶ ἄρνας.
κουρίζων ἔτι, Πέτρε, τεὴν ἐζώννυσο μίτρην 18
110 καὶ ποδὸς ἴχνος ἔκαμπτες, ὅπῃ μενέαινες ὁδεύειν·
ὀψὲ δὲ γηράσκων τανύσεις σέο χεῖρας ἀνάγκῃ,
καί σε περισφίγξουσιν ἀφειδέες ἀνέρες ἄλλοι
εἴς τινα χῶρον ἄγοντες, ὃν οὐ σέο θυμὸς ἀνωγει.
εἶπε προθεσπίζων θανάτου τέλος ἴδμονι φωνῇ, 19

---

